Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

B.

XVII
3786

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

C. 17. 3. 58 n = 60

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

6

5 -

Ministerio de Educación, Cultura y Deporte

# ΘΕΟΔΩΡΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ, ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ ΛΟΓΟΙ ΔΕΚΑ.

# THEODORETI EPISCOPI CYRI DE PROVIDENTIA SERMONES X.

*Nunc primum in lucem editi.*






*Cum Privilegio Pontificio, & Cæsareo. ad Decennium.*

Romæ. M.D.XXXXV.

R.6160
Ministerio de Educación, Cultura y Deporte

# ΠΙΝΑΞ

Ἀποδείξεις ἀπὸ Οὐρανοῦ, καὶ Ἡλίου, καὶ Σελήνης, καὶ τῶν λοιπῶν Ἀστρῶν, λόγος, α΄. 7

Ἀποδείξεις ἀπὸ ἀέρος, καὶ γῆς, καὶ θαλάττης, καὶ ποταμῶν, λόγος β΄. 29

Ἀποδείξεις ἀπὸ τῆς τοῦ ἀνθρωπείου σώματος κατασκευῆς, λόγος γ΄. 43

Ἀποδείξεις ἀπὸ τῶν χειρῶν τῶν ἀνθρωπείων, καὶ τῶν ἐφευρεθεισῶν τεχνῶν, λόγος δ΄. 65

Ἀποδείξεις ἐκ τῆς τῶν ἀλόγων ζώων ἐπιταγῆς, λόγος ε΄. 85

Ὅτι πλοῦτος καὶ πενία τῷ βίῳ χρήσιμοι, λόγος ς΄. 107

Ὅτι δουλεία, καὶ δεσποτεία πρόσφοροι τῷ βίῳ, λόγος ζ΄. 134

Ὅτι τοὺς εὖ φρονοῦντας, οὐδὲ τὸ πονηροῖς δουλεύειν δεσπόταις λυμαίνεται, λόγος η΄. 157

Ὅτι οὐκ ἄκαρπος τῆς δικαιοσύνης ὁ πόνος κἂν ἐν τῷ παρόντι βίῳ μὴ φαίνηται, καὶ περὶ ἀναστάσεως ἀπὸ φυσικῶν λογισμῶν, λόγος θ΄. 192

Ὅτι ἄνωθεν ὁ θεὸς οὐκ Ἰουδαίων μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων κηδόμενος διετέλεσε. καὶ περὶ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως, λόγος ι΄. 219

Ministerio de Educación, Cultura y Deporte

# INDEX

Sermo primus Prouidentiam demonstrat ex Cœlo, Sole, Luna, & reliquis Stellis. 7

Sermo secundus, idem probat ab aere, terra, mari, ac fluuiis. 29

Tertius eandem prouidentiam confirmat ab humani corporis opificio. 43

Quartus illud idem demonstrat tum ex manibus homini concessis, tum etiam ab artibus, quæ sunt excogitatæ. 65

Quintus ab Imperio, quod homo ipse in beluas habet, eiusdem rei demonstrationem continet. 85

Sextus diuitias, & paupertatem vitæ humanæ vtiles esse affirmat. 107

Septimus docet seruitutem, & herilem potestatem ad humanam vitam vtiliter constitutas fuisse. 134

Octauus disputat illos, qui bonæ mentis sunt, nihil ex eo lædi, quod prauis hominibus seruiant. 157

Nonus differit Iustitiæ studium fructu nequaquam carere, quamuis in præsenti vitæ statu minime appareat. Idem naturalibus rationibus resurrectionem ipsam cõfirmat. 192

Decimus demonstrat, superioribus temporibus Deum non minorem omnium hominum, quàm Iudæorum rationem habuisse, et de seruatoris nostri incarnatione disserit. 219



Ministerio de Educación, Cultura y Deporte

*In extrema pagella sexti, & prima septimi, scissa erat charta, desiderabanturque pauca, quæ sic ex ingenio suppleuimus.*

## Λόγος, ϛ΄. 132

μὴ πολυπραγμόνει τῶν γινομένων ἕκαστον, εἰ δὲ θέλεις καὶ πολυπραγμονεῖν, ταύτης σου τῆς πολυπραγμοσύνης συνοδὸς ἔστω ἡ ὑμνῳδία, αὕτη σου τῆς πορείας ἡγείσθω, αὕτη σε πρὸς τὴν τῶν γινομένων ἔρευναν ποδηγείτω.

## Λόγος, Ζ΄. 134

οὐδὲ γὰρ τὴν τῶν ἀγγέλων δοξολογίαν ὡς δεόμενος δέχεται, ἀλλὰ τὴν εὔνοιαν ὁρῶν, τὸ εὔγνωμον ἀποδέχεται. καὶ τὰς θυσίας δὲ τὰς νομικὰς ἡνίκα προσέφερον οἱ προσφέροντες, οὐχ ὡς χρείαν δή που ἔχοντι τῷ θεῷ προσέφερον,

Ministerio de Educación, Cultura y Deporte

# NICOLAO RODVLPHO CARDINALI AMPLISSIMO, NICOLAVS MAIORANVS S. D.

CVM Vaticanæ bibliothecæ curam Pont. Maximi Iussu recepissem, nihil mihi potius fuit, quam ut libros, superiorum temporũ culpa, negligentius habitos ad certum ordinem reuocarem, græcosq; perinde ac latinos auctores in quasdam veluti classes deducerem, ut studiosis, quorum causa comparata est librorum illa copia, magis esset exposita, diutiusq; in ea inuestigandi quod vnusquisque cuperet, omnis fermè abesset labor. Quod cum accurratius facerem, & non modo à tineis cariequе confectos codices, uerumetiam uel schedas quaslibet pro virili mea vindicarem, Theodoreti librũ de Prouidentia Dei forte reperi, quem cum hominis, ad eum diem ne de nomine quidem mihi noti, cognoscendi causa perlegissem, eo dicendi genere, orationisque elegantia, eo dispositionis ordine, ea argumentorum subtilitate, & sententiarum grauitate ac copia scriptum inueni, ut eius lectione, his præsertim temporibus, Christianarum literarum amatores fraudare nefas putauerim: Sperauerimque non minimum gratiæ me apud veræ pietatis studiosos inіturũ, si talem, tam bene de Christiana religione meritum auctorem quasi intermortuũ, ad uitam reuocarem. Occurrebat tamen vnum illud, quod me dies aliquot ab huiusmodi editione deterruit,



Ministerio de Educación, Cultura y Deporte

& animum meum ancipitem habuit, quod cum vnicum tantum extaret exẽplar, idq; à situ, & antiquitate adeo confectum, vt plurimis in locis legi vix posset, si quibus mendis, quod necessarium videbatur, minus integrũ librum edidissem, suspicabar, ne plures futuri essent, qui negligentiam nostram accusarent, quàm qui publicæ vtilitatis, & commodi cupidam voluntatem laudarent. quã tamen suspicionem, amicissimorum, eorumdemq; doctissimorum hominum, quibus librum legendum dederam, auctoritas abstulit: omnium enim, perlecto opere, ea vna vox fuit, vt spretis maleuolorum obtrectationibus librum qualemcunque ederem: fore enim aiebant, ut pro industria nostra ab optimis gratiam iniremus, à malis vero ne laudationes quidem expetendas esse. Qui cum vera dicere viderentur, iamq; me accingerem, ut quam primum quàm integerrimus is auctor in lucem prodiret, id etiã curaui, ut sub alicuius nomine ederetur, qui & literarum scientia facile cæteris præstaret, & grauitate, iustitia, pietate, reliquisq; virtutibus nemini cederet: Tu autem is es: nam si ex omnibus mihi exoptandus esset, quem tecum conferre possem, vix haberem. Huc accedit tuorum erga me meritorum magnitudo, qui per viginti ferè annos, ex quo animi in te mei inductionem, obseruantiamq; probasti, omnibus officiis me ornare, omni humanitate complecti non destitisti. His igitur, ac plurimis aliis de causis, hoc quicquid est muneris, tuo nomini, atq; adeo numini do, dicoq;. teq; rogo vt & donum quidem ipsum, sed magis donantis animum complectaris. Vale, & me, vt facis, perpetuo foue.

Romæ. M. D. XL V. XV. Kal. Iulii.

Ministerio de Educación, Cultura y Deporte

# ΘΕΟΔΩΡΗΤΟΥ ἘΠΙΣΚΟΠΟΥ Κύρου περὶ προνοίας λόγοι δέκα.

## Ἀποδείξεις ἀπὸ οὐρανοῦ, καὶ ἡλίου, καὶ σελήνης, καὶ τῶν λοιπῶν ἀστέρων.

### Λόγος Α΄.

ΝΟΜΟΣ ἐστὶ τοῖς ἀνθρώποις ὑπὸ τῆς φύσεως κείμενος, παῖδας πατέρων ἀδικουμένων ὑπερμαχεῖν, καὶ δεσποτῶν οἰκέτας, καὶ πόλεων πολεμουμένων πολίτας προκινδυνεύειν. καὶ ἁπαξαπλῶς τοὺς εὖ πεπονθότας, εἰς δύναμιν τοὺς εὐεργέτας ἀμείβεσθαι. ἴδοι δ᾽ ἄν τις καὶ βασιλέως ὀρθῶς, καὶ δικαίως τοὺς ἀρχομένους ἰθύνοντος, καὶ ἡμερότητι κεραννύντος τὴν ἐξουσίαν, ἀσπιδοφόρους καὶ δορυφόρους ἐν πολέμοις προθύμως ὑπερασπίζοντας. Καὶ μή μοί τις εὐήθης ἀντιλεγέτω, καὶ ψεῦδος τοῦ λόγου κατηγορείτω, τοὺς πατραλοίας, καὶ μαστιγίας, καὶ προδότας, καὶ τυράννους εἰς μέσον παράγων, περὶ γὰρ τῶν τοῦ νόμου φυλάκων ὁ λόγος, ἐκείνους δὲ ἀχαρίστους, καὶ παραβάτας προσαγορεύειν εἰώθαμεν. τίνουσι δὲ καὶ δίκας τῆς κα

μημάτων ἄξιος. Εἰ δὲ καὶ παῖδας πατέρων, καὶ δεσποτῶν οἰκέτας, καὶ πόλεων πολίτας, καὶ βασιλέων δορυφόρους προκινδυνεύειν ἡ φύσις διαγορεύει, πολλῷ μᾶλλον ὁσιώτερόν τε καὶ δικαιότερον τοῦ θεοῦ, ὑπὲρ τοῦ θεοῦ καὶ γεγενημένοις καὶ σεσωσμένοις μὴ λόγῳ μόνον ὑπερμαχεῖν, ἀλλὰ καὶ θάνατον αἱρεῖσθαι τὸν ἔσχατον. καὶ γὰρ πατέρων ἡμῖν πλησιώτερος, δι' αὐτὸν γὰρ κἀκεῖνοι πατέρες καλοῦνται. καὶ δεσποτῶν κυριώτερος, ἐνταῦθα γὰρ κατὰ φύσιν, ἀλλ' οὐ κατὰ συμφορὰν οἰκετῶν ἡ δεσποτεία. καὶ τείχους παντὸς ἀσφαλέστερος, τὸ μὲν γὰρ, κἂν ἀδαμάντινον ᾖ, χειροποίητον ὅμως ἐστὶ, κἂν τοῖς μηχανήμασι τὴν ἰσχὺν διαφύγῃ, τοῦ χρόνου τὰς χεῖρας οὐ διαφεύξεται. ὁ δὲ, ἀΐδιός τε ἐστὶ καὶ αἰώνιος, καὶ πρὸς πᾶσαν ἀρκῶν φυλακὴν, καὶ ἀσφάλειαν. καὶ βασιλέων τοσούτῳ βασιλικώτερος, ὅσῳ τὸ ἀεὶ ὂν τῷ γενητῷ καὶ φθαρτῷ παραβαλλόμενον, τὸ ἀμέτρητον τῆς ὑπερβολῆς ὑποδείκνυσιν. ὁ μὲν γὰρ, ἀεί τε ἐστὶ, καὶ αὐτῷ τῷ εἶναι συμπεφυκὸς ἔχει τὸ κράτος. ὁ δὲ, παρ' ἐκείνου καὶ τὸ εἶναι λαβὼν ἔχει, καὶ τὸ κρατεῖν. καὶ τοῦτο πρὸς ὀλίγον καὶ ὀλίγων, οὐδὲ παρὰ πάντων τῶν τὴν αὐτὴν φύσιν εἰληχότων. Ἐπειδὴ τοίνυν καὶ πατέρων ἡμῖν οἰκειότερος, καὶ δεσποτῶν κυριώτερος,

Ministerio de Educación, Cultura y Deporte

καὶ πάντων εὐεργέτου προμηθεστέρου, καὶ τείχους παντὸς ἀσφαλεστέρου, καὶ βασιλέων ἁπάντων ἀμέτρως βασιλικωτέρου, δίκαιον ἡμᾶς τοὺς καὶ τὸ εἶναι παρ' αὐτοῦ λαβόντας, καὶ τὸ εὖ εἶναι προσειληφότας, ταῖς βλασφημεῖν αὐτὸν τολμώσαις γλώτταις, τὰς οἰκείας ἀντιτάξαι, καὶ λόγοις εὐσεβέσι, τοὺς δυσσεβεῖς λόγους κατακοντίσαι. οὐχ ἵνα δεομένῳ τὴν παρ' ἡμῶν ἐπικουρίαν προσάξωμεν, ἀπροσδεὴς γὰρ ὁ τῶν ἁπάντων ποιητὴς, καὶ πηλίνης γλώττης εἰς ἐπικουρίαν οὐ δεῖται, ὑμνοῦσαν δὲ ἀποδέχεται, καὶ ὑπερμαχοῦσαν ἀμείβεται, καὶ τὸ ψεῦδος ἐλέγχουσαν στεφανοῖ, ἀλλ' ἵνα καὶ τὴν περὶ αὐτὸν εὔνοιαν δείξωμεν, καὶ τῶν ὁμοδούλων τὸ θράσος, εἰ μὲν δυνατὸν, καταλύσωμεν, εἰ δὲ μὴ, διελέγξωμεν γοῦν, καὶ δῆλον τοῖς ἀγνοοῦσι ποιήσωμεν. Πολλὰ μὲν οὖν καὶ παντοδαπὰ τῶν δυσσεβῶν αἱρουμένων τὰ στίφη, καὶ διάφορα τῆς βλασφημίας τὰ βέλη, πολυειδὲς γὰρ καὶ ποικίλον τὸ ψεῦδος, ἁπλῆ δὲ τῆς ἀληθείας ἡ χάρις. Ἡ μὲν γὰρ ποιητικὴ φάλαγξ, πολλὰ τὸ θεῖον τῷ λόγῳ καθυβρίσασα, καὶ τὸ ψεῦδος τῷ τερπνῷ τοῦ μυθώδους κεράσασα, καὶ οἷόν τινα κυκεῶνα κατασκευάσασα, τῆς πολυθέου πλάνης τοῖς ἀνθρώποις τὴν μέθην προσήνεγκεν. Ἡ δὲ ἐν φι-

Ministerio de Educación, Cultura y Deporte

βωνι λευκῷ, καὶ πώγωνι μακρῷ, καὶ κόμῃ κε-
φαλῆς τὴν φιλοσοφίαν δειξομένη, τῆς ποιητι-
κῆς θεολογίας τὸ καταγέλαστον ὁρῶσα, ἑτέ-
ρας πλάνης ἐπενόησεν ἀτραποὺς, εἰς αὐτὸ τὸ
ποιητικὸν ἐκεῖνο βάραθρον ἀπαγούσας. οἱ μὲν
γὰρ, τῇ κομψείᾳ τοῦ λόγου, καὶ τῇ τῶν ἐνθυμημά-
των δεινότητι, τὴν ποιητικὴν περὶ τῶν θεῶν
αἰσχρολογίαν ἐκάλυψαν. οἱ δὲ, τοῖς πάθεσι
τὴν θείαν προσηγορίαν ἀνέθεσαν. καὶ τὴν μὲν
ἡδονὴν, ἀφροδίτην ὠνόμασαν. ἄρεα δὲ, τὸν θυ-
μόν. τὴν δὲ μέθην, διόνυσον. ἑρμῆν δὲ, τὴν
κλοπήν. τὴν δὲ φρόνησιν, ἀθηνᾶν. καὶ τοιαῦ-
τά τινα μετὰ ἀλαζονικῆς ὀφρύος, καὶ τῆς ἀττι-
κῆς στωμυλίας τερατευόμενοι, τοὺς πολλοὺς
τῶν ἀνθρώπων εἰς ἑτέραν εἴδους ἀπάτην με-
τήγαγον. Καὶ οἱ τὸ φιλοσοφεῖν ὑπισχνούμενοι,
καὶ τὴν ἀπὸ τοῦ σχήματος τιμὴν παρὰ πάντων
δρεπόμενοι, καὶ τῶν παθῶν κρατεῖν ἐπειγό-
μενοι, προσκυνεῖν τὰ πάθη τοὺς ἀνθρώπους
ἐποίησαν, καὶ τὸν αὐτοκράτορα νοῦν τῶν πα-
θῶν ἡνίοχον, θύειν ἐπιθυμίᾳ καὶ θυμῷ καὶ
κλοπῇ καὶ μέθῃ, καὶ τοῖς ἄλλοις πάθεσιν
ἀνοήτως πεπείκασιν. Ἄλλοι δὲ πάλιν οὐδὲν
ὑπὲρ τὰ ὁρώμενα νοῆσαι δυνηθέντες, ἀλλὰ
τοῖς αἰσθητοῖς τὸν νοῦν ἐγκαθείρξαντες, τὰ
τοῖς ὀφθαλμοῖς εἰς θεωρίαν προκείμενα, θεοὺς

Ministerio de Educación, Cultura y Deporte

προσηγόρευσαν. καὶ τὸ σεπτὸν ὄνομα, καὶ φρικῶδες ἐμποιοῦν τοῖς ἀκούουσιν, οἱ μὲν τοῖς στοιχείοις, οἱ δὲ μέρεσι τοῦτ' ἐπέθεσαν. καὶ οἱ μὲν, ἀπὸ ταὐτομάτου γεγενῆσθαι τὸν κόσμον. οἱ δὲ, πολλοὺς ἀνθ' ἑνὸς ἐφαντάσθησαν. καὶ οἱ μὲν, μηδὲ εἶναι παντελῶς τὸ θεῖον. οἱ δὲ, εἶναι μὲν, οὐδενὸς δὲ τῶν ὄντων ἐπιμελεῖσθαι. οἱ δὲ, ἐπιμελεῖσθαι μὲν ἔφασαν, σμικρολόγως δὲ τοῦτο ποιεῖν, καὶ τῇ σελήνῃ περιορίζειν τὴν πρόνοιαν, τὸ δὲ λοιπὸν τοῦ κόσμου μέρος ὡς ἔτυχε φέρεσθαι, τῇ τῆς εἱμαρμένης ἀνάγκῃ δουλεύειν ἠναγκασμένον. Εἰσὶ δέ τινες, οἳ καὶ Χριστιανῶν μὲν προσηγορίαν ἔχουσιν, ἄντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν. οἱ μὲν γὰρ τὸ ἀγέννητον, εἰς τρία τέμνουσι. καὶ τὸ μὲν, καλοῦσιν ἀγαθόν. τὸ δὲ, κακόν. τὸ δὲ, δίκαιον. οἱ δὲ, δύο ἀρχὰς ἀγεννήτους ζωγραφοῦσι τῷ λόγῳ, ἀλλήλαις ἐναντίας ἐκδιαμέτρου. ἄλλοι δὲ, τοῖς μὲν ἀσεβέσι τούτοις πολεμεῖν ἐπαγγέλλονται δόγμασιν, ἑτέραν δὲ δυσσεβείας ἐπινοοῦσιν ὁδόν. τὸν γὰρ μονογενῆ τοῦ θεοῦ λόγον, ὁμολογοῦντες υἱὸν, ὡς ποίημα τῇ κτίσει συναριθμοῦσι, καὶ τὸν κτίστην ἰσῶσι μετὰ τῆς κτίσεως. καὶ τὸ πνεῦμα τὸ ἅγιον, τῷ δυσσεβεῖ λόγῳ τῆς ἀληθινῆς ἀφορίζουσι φύσεως. ἄλλοι δὲ ἄλλως τὴν εὐθεῖαν ὁδὸν ἀπολέ

Ministerio de Educación, Cultura y Deporte

σαντες, καὶ τοῖς τῶν προωδευκότων ἴχνεσιν ἀκολουθῆσαι μὴ βουληθέντες, πόρρω που τῆς ἀληθείας ἐγένοντο. καὶ οἱ μὲν, τὴν ὑπὲρ ἡμῶν γεγενημένην οἰκονομίαν παντελῶς ἀπηρνήσαντο. οἱ δὲ, ὁμολογοῦσι μὲν ἐνανθρωπῆσαι τὸν θεὸν λόγον, σῶμα δὲ μόνον ἀνειληφέναι. οἱ δὲ, ἔμψυχον μὲν καλοῦσι τὴν ληφθεῖσαν σάρκα, οὐ τὴν λογικὴν δὲ, καὶ νοερὰν ἐν ταύτῃ γεγενῆσθαι ψυχήν· ἴσως τὴν οἰκείαν ἄνοιαν τούτου τεκμήριον ἔχοντες. ἡμεῖς δὲ ἀνθρώπου ψυχὴν οὐδεμίαν ἴσμεν ἑτέραν, ἢ τὴν λογικὴν, καὶ ἀθάνατον. ἀλλὰ τοὺς μὲν ἄλλους ἅπαντας ἐκτὸς τοῦ παρόντος καταλίπωμεν, οὐ γὰρ δύναται κατὰ πάντων ὁ λόγος κατὰ ταυτὸν ἀφιέναι τῶν ἐλέγχων τὰ βέλη ὡς ἐν παρατάξει. τέως γὰρ οὖν τὰ μὲν ἄλλα πάντα στίφη τῶν δυσσεβῶν ἡσυχίαν ἀγέτω, τῶν δὲ τῇ τοῦ θεοῦ προνοίᾳ πολεμούντων εἰς μέσον ἀγαγόντες τὴν φάλαγγα, ῥήξωμέν τε αὐτὴν τοῖς ἐλέγχοις, καὶ διασπάσωμεν, καὶ τὴν πυκνότητα διαλύσωμεν, καὶ δορυαλώτους ἀγάγωμεν, καὶ ἑλκύσωμεν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. ὁ δὲ λοιπὸς τῶν δυσσεβούντων ὅμιλος, θεωρῶν τάξιν ἐχέτω, καὶ τὸν ἀγῶνα θεάσθω. εἰκὸς γὰρ κἀκείνων ἕκαστον τῶν ταγμάτων, συμπλοκῆς ἰδίας μὴ δεηθῆναι, ἀλλ' αὐτομολῆσαι πρὸς

τὴν ἀλήθειαν τὴν κατ' αὐτὸν ἢ πλάνην διασκεψαμένοις, καὶ λογισαμένοις τῆς ἀληθείας τὴν δύναμιν. Ἀλλὰ γὰρ ἴσως μέλλων ὁ λόγος, καὶ σχολαιότερον ὁδεύων, ἀηδίζεται καὶ τοῖς νῦν ἀκροωμένοις, καὶ τοῖς ὕστερον ἐντευξομένοις. περιθέμενοι τοιγαροῦν τὴν πανοπλίαν τοῦ πνεύματος, τὸν θώρακα τῆς δικαιοσύνης, τὸν θυρεὸν τῆς πίστεως, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ περιζωσάμενοι τὴν ὀσφὺν ἐν ἀληθείᾳ, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, τῶν ἀγώνων ἐφαλλώμεθα, καὶ ὑπηχείτω μὲν ἡ θεία σάλπιγξ, τὴν ἡμετέραν ἀσθένειαν ὑπερείδουσα. ἡμεῖς δὲ ἐξ αὐτῆς τῆς βαλβῖδος τῶν ἀντιπάλων πυθώμεθα, εἴ δή ποτε τῷ τῆς προνοίας ἀντιλέγουσι λόγῳ, καὶ ταῦτα ποιητὴν αὐτὸν εἶναι φάσκοντες. πρὸς γὰρ τούτοις ἡμῖν ὁ λόγος ἐπὶ τοῦ παρόντος γινέσθω. πόθεν ἐπὶ ταύτην ὡρμήθητε τὴν ἀσέβειαν; τί τῶν ὁρωμένων ὑμῖν ἄκοσμον διαφαίνεται; τί τῶν γινομένων ἄτακτον καθορᾶται; ποῖον τῆς κτίσεως μέρος ἐνδεὲς ἁρμονίας; ποῖον κάλλους, ἢ μεγέθους προσδεῖται; ποῖον οὐκ εὐαρμόστως κινούμενον, ταύτην ἡμῖν ἐγέννησε τὴν ἀσέβειαν; ἐπισκέψασθε νῦν γοῦν, εἰ καὶ μὴ

Ἐφεσ. ς'.

πρότερον, τῶν ὁρωμένων τὴν φύσιν, τὴν θέσιν, τὴν τάξιν, τὴν στάσιν, τὴν κίνησιν, τὸν ῥυθμὸν, τὴν ἁρμονίαν, τὴν ὥραν, τὸ κάλλος, τὸ μέγεθος, τὴν χρείαν, τὴν τέρψιν, τὴν ποικιλίαν, τὴν ἀλλοίωσιν, τὴν εἰς τὸ αὐτὸ πάλιν ἐπάνοδον, τὴν ἐν φθαρτοῖς διαμονήν. βλέπετε αὐτὴν τοῦ θεοῦ τὴν πρόνοιαν, δι᾽ ἑκάστου μορίου τῆς κτίσεως διακύπτουσαν, καὶ φαινομένην, καὶ φθεγγομένην, καὶ δι᾽ αὐτῶν τῶν πραγμάτων μονονουχὶ βοῶσαν, καὶ τὰ ἀθύρωτα ὑμῶν ἐπιστομίζουσαν στόματα, καὶ τὰς ἀχαλινώτους ὑμῶν χαλινοῦσαν γλώττας. βλέπετε αὐτὴν ἐν οὐρανῷ, καὶ τοῖς κατ᾽ οὐρανὸν φωστῆρσιν, ἡλίῳ φημὶ, καὶ σελήνῃ, καὶ ἄστρασιν. ἐν ἀέρι, καὶ ἐν νέφεσιν. ἐν γῇ, καὶ ἐν θαλάσσῃ, καὶ τοῖς ὑπὲρ γῆν ἅπασιν, ἐν φυτοῖς καὶ βοτάναις, καὶ σπέρμασιν, ἐν ζώοις λογικοῖς καὶ ἀλόγοις, πεζοῖς καὶ πτηνοῖς, καὶ νηκτοῖς, καὶ ἑρπετοῖς, καὶ ἀμφιβίοις, ἡμέροις τε καὶ ἀγρίοις, χειροήθεσί τε καὶ ἀτιθασεύτοις. σκοπήσατε παρ᾽ ὑμῖν αὐτοῖς, τίς ὁ συνέχων τὰς οὐρανίους ἁψῖδας· πῶς ἐν τοσαύταις ἐτῶν χιλιάσιν ἀγήρως ἔμεινεν ὁ οὐρανὸς, οὐδεμίαν μεταβολὴν ἐκ τοῦ χρόνου δεξάμενος, καὶ ταῦτα παθητὴν ἔχων τὴν φύσιν, ὡς ὁ μακάριος διδάσκει Δαβίδ. αὐτοί φησιν ἀπολοῦνται, σὺ

Ministerio de Educación, Cultura y Deporte

» δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιω- ψαλ.
» θήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐ- ρα´.
» τοὺς, καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ
» ἔτη σου οὐκ ἐκλείψουσι. ἀλλ᾽ ὅμως καὶ παθητὴν ἔχων, καὶ φθαρτὴν τὴν οὐσίαν, ἔμεινεν οἷός περ ἦν, τῷ τοῦ πεποιηκότος κατεχόμενος λόγῳ. ὁ γὰρ δημιουργήσας αὐτὸν λόγος, συνέχει, καὶ τὸ σταθερὸν αὐτῷ καὶ ἑδραῖον μέχρις ἂν ἐθέλῃ χαρίζεται. τούτου χάριν τοσούτου τοῦ περὶ αὐτὸν πυρὸς ὀχουμένου, ἡλίου φημὶ, καὶ σελήνης, καὶ τῶν ἄλλων φωστήρων ἐν τοσούτοις ἐνιαυτῶν κύκλοις, οὐ τήκεται, οὐ ξηραίνεται, οὐκ ἐμπίπραται. ταύτας γὰρ τοῦ πυρὸς ἡ φύσις τὰς ἐνεργείας ἀπὸ τοῦ πεποιηκότος ἐδέξατο. χρυσὸν μὲν γὰρ, καὶ ἄργυρον, καὶ σίδηρον, καὶ χαλκὸν, καὶ μόλιβδον, καὶ κασσίτερον, καὶ κηρὸν, καὶ πίσσαν, καὶ ὅσα τοιαῦτα, τήκει καὶ διαλύει, καὶ εἰς τὴν ῥοώδη μεταφέρει φύσιν. πηλὸν δὲ καὶ τὰ τελματώδη τῶν ὑδάτων, ξηραίνει, τὸ ὑγρὸν δαπανῶσα. λίθοις δὲ ἐφαπτόμενον, καὶ τὸ στερέμνιον αὐτῶν ἀφαιρεῖται, καὶ τὴν στεῤῥοτάτην φύσιν ἀποδείκνυσι κόνιν. ξύλα δὲ, καὶ χόρτον, καὶ κάλαμον μάλα ῥᾳδίως ἐμπίπρησιν. ἀλλ᾽ οὐδὲν τούτων ὁ οὐρανὸς ὑπομένει, οὐ τήκει γὰρ αὐτοῦ τὸ κρυσταλλῶδες τοσαύτη οὖσα τοῦ πυρὸς ἡ οὐσία, οὐδὲ λυμαίνεται τοῦ

Ministerio de Educación, Cultura y Deporte

λειότητι, οὐδὲ χαλαρὸν ποιεῖ τὸ σφαιροειδὲς αὐτοῦ σχῆμα, ἀλλ' ἣν ἐξ ἀρχῆς ἔλαχε στάσιν, ταύτην εἰς τέλος διαφυλάττει. ὁ γὰρ στήσας αὐτὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖσθαι, τὰς ἐναντίας φύσεις εἰς φιλίαν συνήγαγε. καὶ οὔτε τοῦ πυρὸς ἡ φύσις ὑπὸ τοῦ πλήθους σβέννυται τῶν ὑδάτων, οὔτε τὸ κρυσταλλῶδες, ἢ ἀερῶδες, ἢ νεφελῶδες οὐράνιον σῶμα, τῇ τοῦ πυρὸς οὐσίᾳ πλείστῃ οὔσῃ, τήκεταί τε καὶ φθείρεται, ἀλλ' ἐγγειτόνων ἀλλήλοιν οἰκοῦντες, τὰς πολεμικὰς κρύπτουσιν ἐνεργείας, καὶ τῷ τοῦ πεποιηκότος λόγῳ πεισθέντες, τὴν δι' αἰῶνος φιλίαν ἐσπείσαντο. καὶ ταῦτα ἄψυχα ὄντα, καὶ νοῦν κυβερνήτην μὴ ἔχοντα, ἀλλ' ὅμως μένει τὸν ἐξ ἀρχῆς ὅρον φυλάττοντα, κυβερνᾷ γὰρ τὴν κτίσιν ὁ ποιητὴς, καὶ οὐ κατέλιπεν ἀκυβέρνητον ὃ πεποίηκε σκάφος, ἀλλ' αὐτὸς ὢν καὶ ναυπηγὸς, καὶ τῆς ὕλης φυτουργὸς, καὶ κατὰ ταυτὸν τήν τε ὕλην δημιουργήσας, καὶ τὸ σκάφος ὑφήνας, κατέχων διατελεῖ τὰ πηδάλια. καὶ μαρτυρεῖ τῶν τοσούτων ἐνιαυτῶν ὁ κύκλος, καὶ ὁ μακρότατος χρόνος, μὴ διαφθείρας τὸ σκάφος. σῶον δὲ αὐτὸ καὶ ἀκραιφνὲς οὐ μόνον τοῖς πρώτοις, ἀλλὰ

καὶ τοῖς

καὶ τοῖς ὁρωμένοις ἐπιδείκνυσι. Ἐπειδὴ τοίνυν εἴδες ὦ φίλος ἐν οὐρανῷ τὴν τοῦ θεοῦ πρόνοιαν φαινομένην, φέρε ξεναγήσωμεν ἐπὶ τὰ λοιπὰ τῆς κτίσεως μέρη, καὶ καθάπερ τὰ βρέφη τὰ πρῶτον τοῦ βαδίζειν ἀρξάμενα, τῆς δεξιᾶς σου λαβόμενοι, κατὰ βραχὺ τὴν κτίσιν περινοστῆσαι παρασκευάσωμεν. Κατάβηθι τοίνυν ἀπὸ τῶν οὐρανῶν, οἷον εἰς ἕνα βαθμὸν πρῶτον τὸν ἥλιον, καὶ μὴ δείσῃς τὸν ἐμπρησμόν, ἀλλ᾽ ἐπίβηθι καὶ περισκόπησον, οὐ γὰρ ἐμπρήσειε δυσγνωμόνως πρὸς τὸν ποιητὴν διακείμενον, ἀλλ᾽ ἀποδείξει σοι τὸν δημιουργὸν, ἐναντίως κεχρῆσθαι τῇ τῆς φύσεως ἐνεργείᾳ κελεύοντα. φιλεῖ μὲν γὰρ τὸ πῦρ κατὰ φύσιν τὴν ἐπὶ τὰ ἄνω φοράν, ὥσπερ τὸ ὕδωρ, τὴν ἐπὶ τὸ πρανὲς δρόμον. καὶ οὔτε τοῦτον ἐξ ὑπωρείας εἰς ἀκρώρειαν ἀναγαγεῖν δυνατόν, οὔτε ἐκεῖνο πεῖσαι κάτω πέμψαι τὴν φλόγα. ἀλλὰ κἂν μυριάκις τὶς φιλονεικήσῃ, λαμπάδα κατέχων ἢ δᾷδα, κάτω ταύτην μετενεγκεῖν τῇ χειρί, ἡ φλὸξ ἐπὶ τὰ ἄνω πάλιν χωρεῖ, καὶ κατὰ τῆς κατεχούσης αὐτὴν χειρός, καὶ ἣν ἔλαβεν ἐξ ἀρχῆς ὁρμὴν οὐκ ἐᾷ, ἀλλ᾽ ἐπὶ τῶν ὅρων τῆς φύσεως ἕστηκε. τῷ δὲ ποιητῇ, πάντα ῥᾴδια, τὸ γὰρ τῇ σῇ μὴ πειθόμενον δεξιᾷ, τοῖς τοῦ δημιουργοῦ νεύμασιν εἴκει. καὶ ἔστιν



Ministerio de Educación, Cultura y Deporte

ἰδεῖν, ἥλιον καὶ σελήνην καὶ τὸν τῶν ἀστέρων χορὸν, τῷ μὲν οὐρανῷ τὰ νῶτα διδόντας, κάτω δὲ τὰς ἀκτῖνας ἀφιέντας, δοῦλα γάρ ἐστι τοῦ κεκτηκότος, καὶ φύσις αὐτοῖς ὁ τοῦ ποιήσαντος ὅρος. Σοὶ μὲν γὰρ, οὐ πείθεται τοῦ πυρὸς ἡ φύσις, οὐδὲ τῆς οἰκείας ἐνεργείας ἐξίσταται, ὁμόδουλος γὰρ ὑπάρχει, τοῖς δὲ τοῦ ποιητοῦ νεύμασι πειθομένη, μεταρρυθμίζεται, καὶ κατωφορὴς ἀνωφορὴς γίγνεται φύσις. οὕτω τοῦ ὕδατος τὴν φύσιν ῥοώδη τε καὶ χαύνην οὖσαν, ἄγει καὶ φέρει μετέωρον, καὶ κάτωθεν ἀνέλκων, μέσην οὐρανοῦ καὶ γῆς ἵστησιν, ἐπ' οὐδενὸς ἐρηρεισμένην, ἀλλὰ λόγῳ μόνῳ ἠωρημένην καὶ κρεμαμένην. Ἀλλὰ τέως περὶ τῶν νεφῶν μηδὲν ἀκοῦσαι ποθήσῃς, μὴ δὲ δραμεῖν ἐθελήσῃς, οὐδέπω βαδίζειν μεμαθηκὼς, ἀλλὰ κατὰ βραχὺ τὴν κίνησιν ὁδεύων, μάθε τῆς εὐσεβείας τὸν δρόμον. βλέπε τοιγαροῦν κἀνταῦθα τοῦ θεοῦ τὴν πρόνοιαν, ἐφεστῶσαν ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄλλοις φωστῆρσι, καὶ οἷόν τινι φωνῇ προσκελευομένην δᾳδουχεῖν τοῖς ἀνθρώποις, καὶ οὐχ ἁπλῶς δᾳδουχεῖν, ἀλλὰ κατὰ χρόνου διανομήν. ἀνίσχων μὲν γὰρ ὁ ἥλιος, τὴν ἡμέραν ποιεῖ, δυόμενος δὲ καὶ οἱονεὶ κρυπτόμενος, παραχωρεῖ τῇ νυκτὶ, ἧς τὸ ζοφῶδες, διὰ σελήνης καὶ ἀστέρων ὁ δημιουργὸς ἐκφαίνει. καὶ ἔστιν

ἰδεῖν, οἷον γυναῖκας ἀδελφάς, τὴν ἡμέραν φημὶ καὶ τὴν νύκτα, παρ' ἀλλήλων δανειζομένας εἰς χρείαν ἀνθρώπων τὸν χρόνον, καὶ πάλιν εὐγνωμόνως ἀποδιδούσας. τοῦ μὲν γὰρ χειμῶνος λήγοντος, καὶ τοῦ ἔαρος ὑπολάμποντος, ἡνίκα πλείους τῶν ἀνθρώπων οἱ περὶ τὴν ἐργασίαν πόνοι, ὁδοιπορίαι τε, καὶ ἐκδημίαι, καὶ ἀπὸ λιμένων ἀναγωγαί, καὶ θάλαττα ἐστορεσμένη, καὶ τῆς χειμερινῆς ἀπηλλαγμένη τραχύτητος, καὶ ἡ γῆ τοῖς λήϊοις κομῶσα τὸν γηπόνον εἰς ἐπιμέλειαν καλεῖ, καὶ τὰ φυτὰ τὸν φυτουργὸν εἰς τομὴν καὶ κάθαρσιν καὶ ἀρδείαν καὶ τὴν ἄλλην σκαπάνης ἐπιμέλειαν, τηνικαῦτα δανείζεται παρὰ τῆς νυκτὸς ἡ ἡμέρα, αὔξουσα τοῖς ἀνθρώποις τὸν τῆς ἐργασίας καιρόν, κατὰ βραχὺ δὲ κομίζεται, ἵνα μὴ τῷ ἀθρόῳ τοῖς χρωμένοις λυμήνηται. πλείων γὰρ ἐξαίφνης ὁ πόνος γιγνόμενος, λωβᾶται λίαν τοῖς ἀργοῖς ἤδη πλεῖστον διαμείνασι σώμασι, τούτου χάριν κατὰ βραχὺ προσλαμβάνει τὴν αὔξησιν. τοῦ δὲ θέρους ἤδη μεσοῦντος, παύεται μὲν δανειζομένη, παραυτίκα δὲ τῆς ἐκτίσεως ἅπτεται, οὐδεμίαν ἡμέραν ἀναβαλλομένη τὴν ἔκτισιν. κατὰ βραχὺ δὲ ὅμως, καθάπερ ἔλαβεν, ἀποδίδωσιν ὃ πρὶν ἔλαβεν. εἶτα κατὰ τὸ μετόπωρον ἰσόμετρος γιγνομένη, οὐκ αἰσχύ-



Ministerio de Educación, Cultura y Deporte

νεται μεριζομένη, οὐδὲ πλεονεκτεῖν ἀνέχεται τὴν ὁμόζυγα, ἀλλ' ἕως ἂν ἀπανεκτίσῃ τὸ ὄφλημα, οὐ παύεται λήγουσα, καὶ τοῖς ἀνθρώποις μακρὰν πραγματευομένη τὴν θεραπείαν. οἴκοι γὰρ μένειν κρυμοῦ χάριν, καὶ ὑετοῦ, καὶ πηλοῦ, καὶ τελμάτων ἀναγκαζόμενοι, θυμηρεστέραν ἔχομεν τῆς ἡμέρας τὴν νύκτα. εἰσὶ δὲ καὶ οἳ, μακρᾶς οὕτω τῆς νυκτὸς γιγνομένης, τῆς ἀναπαύλης οὐ λαμβάνουσι κόρον, ἀλλὰ τὸν ὄρθρον βλέποντες ὑπολάμποντα, δυσχεραίνουσιν. οὕτω πάλιν ἡ νὺξ ἀπολαβοῦσα τὸ χρέος, οὐ προαιτεῖται τὸ δάνεισμα. οὕτως ἅπας ἡμῶν ὁ βίος, διὰ τούτων ὁδεύει, καὶ χρείαν οὐκ ἐλάττω τῆς ἡμέρας ἡ νὺξ τοῖς ἀνθρώποις παρέχει. Πρῶτον μὲν γὰρ τοῦ σκότους καὶ τοῦ φωτὸς τὸ διάφορον, τερπνότερον ἡμῖν καὶ χαριέστερον τὸ φῶς ὑποδείκνυσι, διὸ ποθεινότερος ἡμῖν τῆς μεσημβρίας ὁ ὄρθρος. κόρον δὲ τοῦ φωτὸς μεθημέραν λαμβάνοντες, τῆς νυκτερινῆς ἀναπαύλης δεόμεθα. εἶτα ταύτης τυχόντες, τὸν μὲν κόρον ἀποτιθέμεθα, ἐπέρασον δὲ ἡμῖν αὖθις γίνεται τὸ φῶς. οὕτω καὶ τοῖς πόνοις κορεννύμενοι, μεθημέραν κοπούμενον τὸ σῶμα, νύκτωρ διαναπαυόμεθα. καὶ κλίνῃ, καὶ ὕπνῳ, καὶ ἡσυχίᾳ τοῦτο καλῶς θεραπεύσαντες, αὖθις αὐτὸ νέον τοῖς ἔργοις ἀπο

Ministerio de Educación, Cultura y Deporte

τὴν ἕω προσδρομήν. τοσαύτην ἡμῖν καὶ τοιαύτην ἡ νὺξ παρέχει τὴν χρείαν. διὰ ταύτην, καὶ μισθωτὸς ἀναπαύεται, καὶ οἰκέτης παῦλαν λαμβάνει τῶν πόνων. παύει γὰρ καὶ τοὺς λίαν φιλοπονωτάτους τῆς ἐργασίας τῆς νυκτὸς τὸ ζοφῶδες. ταύτην ᾐδέσθησαν πολλάκις καὶ πολεμοῦντες ἄνθρωποι, καὶ νικῶντες, καὶ τοὺς ἀντιπάλους διώκοντες. καὶ διαστάμενοι παραγινομένην, τοῦ μὲν διώκειν ἐπαύσαντο, σχολαιότερον δὲ φεύγειν τοὺς δραπετεύοντας εἴασαν. αὕτη, τοὺς μὲν ἀνθρώπους, οἴκαδε συνάγει, καὶ γλυκὺν αὐτοῖς ἐπιφέρει τὸν ὕπνον, ἐξάγει δὲ πρὸς νομὴν τὰ θηρία, καὶ παρρησίαν αὐτοῖς τοῦ νέμεσθαι δίδωσιν. ἐπὶ τούτοις ὑμνῶν τὸν τῶν ὅλων θεὸν, ὁ μέγας ἐ-
» βόα Δαβίδ. ἐποίησε σελήνην εἰς καιρούς, ὁ Ψαλ.
» ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. ἔθου σκότος, καὶ ργ'.
» ἐγένετο νὺξ, ἐν αὐτῇ διελεύσεται πάντα τὰ
» θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι τοῦ ἁρ-
» πάσαι, καὶ ζητῆσαι παρὰ τῷ θεῷ βρῶσιν αὐ-
» τοῖς. ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ
» εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. ἐξε-
» λεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ
» ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. ὥστε
καὶ ταύτην παρέχει τὴν χρείαν ἡ νύξ. καὶ τοὺς ἀνθρώπους διαναπαύουσα, ἀδεῶς τε τὴν ζω-

φὴν παρέχει τοῖς θηρίοις πορίζεσθαι. καὶ ἴσως αὖ τις εἴποι τῶν τὴν πρόνοιαν ἀρνουμένων, τί δήποτε γὰρ ἐδημιουργήθη θηρία; ποίαν ἢ τοῖς ἀνθρώποις χρείαν πληροῖ; ἀλλὰ τὴν περὶ τούτων ἀπολογίαν, ἐν τῷ περὶ τῶν θηρίων ἀναμενέτω λόγῳ, πῶς δὲ ὁ λόγος ὁδῷ βαδιζέτω. Ὅτι τοίνυν ἀναγκαία, καὶ λίαν τοῖς ἀνθρώποις ὠφέλιμος τῆς νυκτὸς ἡ χρεία, ἀπόχρη μὲν ὡς οἶμαι καὶ τὰ εἰρημένα διδάξαι, προσθήσει δὲ ὅμως ὁ λόγος ἕτερα, τοῖς προτέροις συμμαρτυροῦντα. ἐπειδὴ γὰρ θνητὴν εἴχομεν τὴν φύσιν, καὶ περιωρισμένην ἕξομεν ζωήν, ἐχρῆν ἡμᾶς μαθεῖν καὶ τοῦ χρόνου τὰ μέτρα. νὺξ τοιγαροῦν μέση τῶν ἡμερῶν γινομένη, μετρεῖσθαι τὸν χρόνον ποιεῖ. εἰ γὰρ ἀδιάδοχον μεμενήκει τὸ φῶς, οὐκ ἂν ἐνιαυτῶν μεμαθήκαμεν κύκλους, οὐκ ἂν μηνῶν ἐδιδάχθημεν ἀριθμόν, μία δ' ἂν ἔδοξεν ἡμέρα παντὸς εἶναι τοῦ παρόντος αἰῶνος τὸ μέτρον, ὥσπερ ἔξειν τὸν προσδοκώμενον αἰῶνα πιστεύομεν, ἀνέσπερον γὰρ τὴν ἡμέραν ἐκείνην καὶ παντελῶς ἀδιάδοχον ἔσεσθαι δεδιδάγμεθα, τοιοῦτος γὰρ τοῖς ἀθανάτοις ἐσομένοις, καὶ ὁ αἰὼν ἁρμόττει. ἐνθάδε δὲ τοῦ παρόντος πολλῶν ἐνδεεῖς ὄντας, διὰ τὸ τῆς φύσεως θνητὸν καὶ ἐπίκηρον, ἔδει τοῦ χρόνου τὰ μέτρα γινώσκειν, ἵνα παραθέοντα

τοῦτον ἡμᾶς ὁρῶντος, ἡμῶν αὐτῶν ἐπιμελώμεθα, καὶ πρὸς τὴν ἀποδημίαν ἑτοίμως παρέχωμεν. διαδεχομένη περιγραφοῦσα ἡ νὺξ τὴν ἡμέραν, μέτρον γίνεται τοῦ χρόνου. καὶ τοῦτο ἑπτάκις γιγνόμενον, τὴν ἑβδομάδα ποιεῖ. Τοῦ δὲ μηνὸς, ἐκ τῆς σελήνης τὸ μέτρον λαμβάνομεν, ἐντεῦθεν γὰρ καὶ τῆς προσηγορίας μετέλαχεν, μήνην γὰρ ὀνομάζουσι τὴν σελήνην. αὕτη γὰρ αὐξουμένη καὶ φθίνουσα, καὶ μηνοειδὴς γινομένη, καὶ διχότομος, ἀμφίκυρτός τε καὶ πλησιφαὴς, καὶ πάλιν εἰς τὸ ἀμφίκυρτον μεταβαίνουσα σχῆμα, εἶτα ἐκεῖθεν εἰς τὸ διχότομον καὶ εἰς τὸ μηνοειδὲς, αὖθις τὸν τῶν τριάκοντα ἡμερῶν ὀλίγων ὡρῶν δεόμενον ἀριθμὸν πληροῖ. Τὸν ἐνιαύσιον δὲ κύκλον, οὐκ ἐκ τῶν μηνῶν μόνων, ἀλλὰ καὶ ἐκ τῶν ἡμερῶν διδασκόμεθα. ἔαρος γὰρ ἀπολάμποντος, μέσον τὸν οὐρανὸν ὁδεύων ὁ ἥλιος, ἡμέρᾳ καὶ νυκτὶ τὴν ἰσότητα πραγματεύεται. ἐκεῖθεν τὰ βορειότερα τῶν ἐῴων καταλαμβάνων, κἀκεῖθεν ἀνίσχων, σμικρύνει μὲν τὰς νύκτας, αὔξει δὲ τὰς ἡμέρας. θερμότερος δὲ τῇ γῇ προσβάλλων, τὸν ταύτης πεπαίνει καρπόν. μέχρι δὲ τῶν εἰωθότων ὅρων ὁδεύσας, ἐπάνεισιν ἀπὸ τῶν ἀρκτώων ἐπὶ τὰ νότια. καὶ πάλιν ἐν τῷ μετοπώρῳ νυκτὶ καὶ ἡμέρᾳ τὴν ἰσότητα πρυ-



Ministerio de Educación, Cultura y Deporte

τανούσας, νοτιώτερος γίνεται, καὶ ταῖς μὲν
νυξὶν ἀποδίδωσιν, ἃ παρ' αὐτῶν λαβὼν δέδωκε
ταῖς ἡμέραις, παραχωρεῖ δὲ τῷ ἀέρι πυκνοῦ-
σθαι, καὶ νεφῶν πληροῦσθαι, καὶ πᾶσαν
ἀρδεύειν τὴν ἤπειρον. ἐκεῖθεν αὖθις τὴν ἰσημε-
ρινὴν ἐπανιὼν τροπὴν, πληροῖ τὸν ἐνιαύσιον
κύκλον. Ἐπειδὴ τοίνυν εἶδες ἡλίου καὶ σελή-
νης τὴν χρείαν, καὶ νυκτὸς καὶ ἡμέρας τὰς
ἰσομέτρους διαδοχὰς, καὶ τὴν ἐντεῦθεν τοῖς
ἀνθρώποις παραφερομένην ὠφέλειαν, βλέπε
μοι καὶ τῶν ὡρῶν τοῦ ἔτους τὴν τερπνοτάτην
καὶ χρειωδεστάτην χορείαν. οὔτε γὰρ διχῇ τὸν
ἐνιαύσιον κύκλον ἐμέρισεν ὁ ποιητὴς, οὔτε θέ-
ρος ἡμῖν ἁπλῶς δέδωκε καὶ χειμῶνα, οὐδ' ἀ-
πὸ τῶν ἄκρων ἀμέσως εἰς τὰ ἄκρα μεταβαί-
νομεν, ἀλλὰ τὸ ἔαρ καὶ τὸ μετόπωρον μέσην
λαχόντα τὴν κρᾶσιν, τοῦ κρυμοῦ καὶ τοῦ φλο-
γμοῦ μέσα γίνεται. καὶ τὸν ἄκρως ὑγρὸν
καὶ ψυχρὸν χειμῶνα, οὐ τὸ ἄκρως ξηρὸν καὶ
θερμὸν διαδέχεται θέρος, ἀλλὰ τὸ ἔαρ, ὃ καὶ
τῆς τούτων μετέχον θερμότητος, καὶ τῆς ἐκεί-
νων ψυχρότητος, μίξιν ἀρίστην τῶν ἀφεστηκό-
των ἐργάζεται, καὶ οἱονεί τισι χερσὶ τῶν ἐναν-
τίων ἐπειλημμένον, τῇ μὲν ψυχρότητι τοῦ χει-
μῶνος, τῇ δὲ θερμότητι τοῦ θέρους, εἰς σύμβα-
σιν ἄγει καὶ φιλίαν τὰ κομιδῇ πολέμια. διὰ

Ministerio de Educación, Cultura y Deporte

ὥσπερ ἀπὸ τοῦ χειμῶνος ἐπὶ τὸ θέρος ὁδεύοντες, ἀλύπως ὁδεύομεν. κατὰ βραχὺ γὰρ τῆς τούτου ψυχρότητος ἀφιστάμενοι, καὶ τῇ ἐκείνου θερμότητι πλησιάζοντες, οὐδεμίαν βλάβην ἐκ τῆς ἀθρόας μεταβολῆς ὑφιστάμεθα. οὕτως ἀπὸ τοῦ θέρους ἐπὶ τὸν χειμῶνα μεταβαίνομεν, μέσου πάλιν τοῦ μετοπώρου γιγνομένου, οὐκ ἐῶντος ἡμᾶς εὐθὺς τοῖς ἄκρως ἐναντίοις προσψαῦσαι, ἀλλὰ κεραννῦντος τὴν ἄκραν θερμότητα τῇ ἄκρᾳ ψυχρότητι, καὶ κρᾶσιν ἑτέραν ἐργαζομένου, καὶ κατὰ σμικρὸν ἡμᾶς ἐπ' ἐκεῖνο ξεναγοῦντος τὸ ἄκρον. τοσαύτη περὶ ἡμᾶς ἡ τοῦ πεποιηκότος κηδεμονία. Οὕτω καὶ ταῖς τῶν ὡρῶν μεταβολαῖς, οὐ μόνον ἡμῖν τὸ ἄλυπον, ἀλλὰ καὶ τὸ τερπνὸν πραγματεύεται. Καὶ ἴσως ἄν τις τῶν ἀχαρίστων τοῖς εὖ καὶ καλῶς γεγενημένοις, καὶ σοφῶς καὶ συμφερόντως οἰκονομουμένοις ἐπιμεμφόμενος εἴποι. τί δήποτε αἱ τροπαὶ γίγνονται; ποίαν δὲ χρείαν ἡμῖν αἱ τῶν ὡρῶν μεταβάσεις ποιοῦσι; ποίων δὲ ἀγαθῶν ὦ σοφώτατε καὶ δεινότατε τῆς προνοίας κατήγορε, οὐ διὰ τούτων τυγχάνομεν; ἀρχομένου μὲν γὰρ χειμῶνος, σπέρματα καταβάλλομεν, ὁ δὲ ταύτην ἡμᾶς διδάξας τὴν τέχνην, τρέφει ταῦτα, ὕων ἐκ νεφῶν, καὶ τὸ θαλάττιον ὕδωρ ἀνέλκων

Ministerio de Educación, Cultura y Deporte

τῷ λόγῳ, καὶ μετέωρον αἴρων, καὶ τὴν ἁλμυρὰν ἐκείνην εἰς γλυκεῖαν μεταβάλλων ποιότητα, καὶ τὰς ψεκάδας διακρίνων, καὶ νῦν μὲν σμικρὰς ἀφιείς, νῦν δὲ μεγάλας καὶ κρουνηδὸν φερομένας, καὶ οἷόν τινι κοσκίνῳ διαιρῶν τῶν νεφῶν τὰς ὠδῖνας. διὰ τοῦτο ἡ χειμέριος ὥρα ἵνα σοι τὴν ἀχάριστον διαθρέψῃ, ἵνα σοι τῷ ἀγνώμονι πορίσῃ τῶν ἀναγκαίων τὴν χρείαν. Ἔαρος δὲ πάλιν ἀρχομένου, οἱ μὲν τῶν γηπόνων, τέμνουσι τὰς ἀμπέλους, οἱ δὲ, ἑτέρας φυτεύουσι. χαυνούμενα δὲ τῇ τοῦ ἀέρος θερμότητι τὰ κλήματα, πρὸς ὠδῖνας ἐπείγεται. Τοῦ δὲ θέρους ἀκμάζοντος, καὶ τοῦ ἡλίου σφόδρα τὸν ἀέρα θερμαίνοντος, ὁ μὲν σῖτος εἰς ἄμητον τὸν γηπόνον καλεῖ, ὀργῶσι δὲ σταφυλαί, βρίθουσι δὲ ἐλαῖαι τοῦ καρποῦ τρεφομένου, πεπαίνεται δὲ τῶν ὀπωρῶν τὰ γένη. Εἶτα μετόπωρον ἐπιγινόμενον, ταῦτα τελείως πέπονα τοῖς φυτουργοῖς παραδίδωσιν. οἱ δὲ, τὴν συλλογὴν ποιησάμενοι, πάλιν ἅπτονται τῶν σπερμάτων. παῦσαι τοίνυν ἀχάριστων, καὶ τοῖς τῆς προνοίας δώροις, τὴν πρόνοιαν διαβάλλειν ἐπιχειρῶν, καὶ τοῖς δοθεῖσιν ἀγαθοῖς, τὸν τούτων δοτῆρα τοξεύων. ἐν ἅπασι τοῖς εἰρημένοις τὴν τοῦ θεοῦ καταμάθε πρόνοιαν, ἰθύνουσάν τε καὶ κυβερνῶσαν, καὶ πάν

Ministerio de Educación, Cultura y Deporte

των σοι τῶν ἀγαθῶν πραγματευομένην τὴν ἀφθονίαν. Βλέπε καὶ τῶν ἀστέρων τὴν φύσιν, τὴν θέσιν, τὴν τάξιν, τὴν ποικιλίαν τῶν σχημάτων, τὴν τέρψιν, τὴν χρείαν, τὴν χορείαν, τὰς ἐπιτολάς, τὰς δύσεις. τούτους ὁ τῶν ὅλων δημιουργὸς πεποίηκεν, οὐχ ἵνα μόνον τὸ ζοφῶδες τῆς νυκτὸς φωτίζωσι, καὶ ἐν ἀσελήνῳ νυκτὶ τοῦ φωτὸς τοῖς ἀνθρώποις τὴν χρείαν παρέχωσιν, ἀλλ' ἵνα καὶ ὁδίτην παραπέμπωσι, καὶ τοὺς πλέοντας ξεναγῶσιν. εἰς γὰρ τούτους ἀφορῶντες οἱ ναυτιλλόμενοι, τὴν ἀτριβῆ τρίβον ὁδεύουσι, καὶ τῇ τούτων θέσει προσέχοντες, τὸ σκάφος ἰθύνουσι, καὶ πρὸς οὓς ἂν ἐθέλωσιν ἀπευθύνουσι λιμένας. Ἐπειδὴ γὰρ οὐ δέχεται τῶν ὑδάτων ἡ φύσις ἵππων καὶ ἡμιόνων καὶ ὁδοιπόρων ἴχνη, καὶ ἁμαξῶν, καὶ σχημάτων γραμμάς, οἷς οἱ ὁδῖται προσέχοντες, ἀναμφιβόλως τὴν πορείαν ποιοῦνται, δέδωκε τῶν ὅλων ὁ δεσπότης τοῖς τὰ μακρὰ πελάγη διαπερῶσιν, οἷον ἴχνη τινὰ τῶν θαλαττίων τρίβων, τῶν ἀστέρων τὴν θέσιν. ὢ τῆς ἀρρήτου φιλανθρωπίας. ὢ τῆς ἀφράστου σοφίας. τίς ἂν ἀξίως θαυμάσειε τῆς τοῦ θεοῦ προνοίας τὸ ἀγαθόν, τὸ δυνατόν, τὸ ἐν ἀπόροις εὔπορον, τὸ ἐν ἀμηχάνοις εὐμήχανον, τὴν μεγαλουργίαν, τὴν εὐπορίαν; ἀληθῶς ἐθαυμαστώθη ἡ

Ψαλ. » γνῶσις σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνω-
ρλή. » μαι πρὸς αὐτήν. βοῶ κἀγώ. εἰ δ' ἐμοὶ πείθοιο,
ταύτην σὺν ἐμοὶ καὶ σὺ τὴν φωνὴν ἀφήσεις,
καὶ τὸν εὐεργέτην εἰς δύναμιν ὑμνήσεις, καὶ
μυρίοις ἔργοις εὐεργετούμενος, λόγοις εὐγνώμο-
νας ἀποδώσεις. ἵνα δέ σε νῦν τοῦ βαδίζειν ἀρ-
ξάμενον, μὴ μακρὰν ὁδὸν ὁδεῦσαι παρασκευά-
σαντες, πόνον σοι προξενήσωμεν, ἐνταῦθά σε
πως διαναπαύσομεν. καὶ τὴν ἐν οὐρανῷ, καὶ
τοῖς κατ' οὐρανὸν φωστῆρσι πρόνοιαν τοῦ θεοῦ
φαινομένην, θεωρεῖν καταλείψομεν. εἰκὸς γάρ
σε ποδηγηθέντα, καὶ καθ' ἑαυτὸν τὴν θεω-
ρίαν αὐξῆσαι, καὶ τὰ τῆς συντομίας χάριν ἀπὸ
τοῦ λόγου καταλειφθέντα, ἐκ τῶν εἰρη-
μένων εὑρεῖν, καὶ μετὰ τοῦ προφή-
Ψαλ. » του βοῆσαι. ὡς ἐμεγαλύν-
ργ'. » θη τὰ ἔργα σου κύριε,
» πάντα ἐν σοφίᾳ
» ἐποίησας.
σοὶ δόξα
εἰς
τοὺς αἰῶνας, ἀμήν.

Ministerio de Educación, Cultura y Deporte

## ἈΠΟΔΕΙ͂ΞΕΙΣ ἈΠῸ ἈΈΡΟΣ, καὶ γῆς, καὶ θαλάττης, καὶ ποταμῶν, καὶ πηγῶν. Λόγος, β΄.

Οἱ ταῖς τῆς προνοίας ἡνίαις ἀπιστοῦντες, καὶ τὸν οὐρανοῦ καὶ γῆς κόσμον ἡνιόχου δίχα μετὰ τοσαύτης ἁρμονίας καὶ τάξεως φέρεσθαι λίαν ἀνοήτως ἰσχυριζόμενοι, ἐοικέναι μοι δοκοῦσιν, ὥσπερ ἄν τις ἐν νηῒ καθήμενος, καὶ τὸ πέλαγος διαπεραιούμενος, καὶ τὸν κυβερνήτην ὁρῶν τῶν οἰάκων ἐπειλημμένον, καὶ τὰ πηδάλια πρὸς τὴν χρείαν κινοῦντα, καὶ νῦν μὲν τὸ δεξιὸν φέροντα, νῦν δὲ τὸ εὐώνυμον μεταφέροντα, καὶ τὸ σκάφος πρὸς ὃν ἂν ἐθέλῃ λιμένα ἰθύνοντα, ἀρνοῖτο περιφανῶς οὕτω ψευδόμενος, καὶ ἄντικρυς τῇ ἀληθείᾳ μαχόμενος, καὶ μήτε κυβερνήτην ἐπὶ πρύμνης ἑστάναι, μήτε πηδάλια τὸ σκάφος ἔχειν, μήτε τῇ κινήσει τῶν οἰάκων ἰθύνεσθαι, ἀλλ' αὐτόματον φέρεσθαι. καὶ τῆς τῶν κυμάτων περιγίνεσθαι ῥύμης, καὶ τῇ τῶν πνευμάτων ἐμβολῇ διαμάχεσθαι, καὶ μήτε ναυτῶν ἐπικούρων δεῖσθαι, μήτε κυβερνήτου, τὸ κοινῇ συμφέρον τοῖς

ἐρέταις προστάττοντος. ἐναργῶς γὰρ οὗτοι, καὶ
λίαν προφανῶς τὸν ἁπάντων δεσπότην ὁρῶν-
τες τὴν ἐποίησε κτίσιν ἰθύνοντα, καὶ πάντα ἐν
ῥυθμῷ καὶ τάξει ἄγοντά τε καὶ φέροντα, καὶ
τὴν ἁρμονίαν ἑκάστῳ τῶν γινομένων ἐμπρέπου-
σαν, κάλλος ὁμοῦ καὶ χρείαν ἐν ἁπάσῃ θεω-
ροῦντες τῇ κτίσει, καὶ ἐν ἑκάστῳ δὲ μορίῳ ταύ-
της ἄμφω ταῦτα διαλάμποντα, ἑκόντες
τυφλώττουσι, μᾶλλον δὲ ὁρῶντες ἀναισχυν-
τοῦσι. καὶ τὰ δῶρα τῆς προνοίας λαμβάνον-
τες, οἷς λαμβάνουσι λοιδοροῦνται, καὶ δι' ὧν
ἀπολαύουσι, τῷ κηδεμόνι πολεμοῦσιν. Ἤρκει
μὲν οὖν εἴπερ ἤθελον εὐγνωμόνως ἀκούειν καὶ
τὰ χθὲς εἰρημένα περὶ οὐρανοῦ, καὶ σελήνης,
καὶ ἡλίου, καὶ τῶν ἄλλων φωστήρων, πεῖσαι
αὐτοὺς σωφρονεῖν, καὶ τὸν εὐεργέτην ὑμνεῖν.
ἵνα δὲ μή τις τῶν τὴν σελήνην ὅρον τῇ προνοίᾳ
τεθεικότων, καὶ μέχρι ταύτης αὐτὴν διήκειν
εἰρηκότων, καὶ λίαν αὐτὴν σμικρολόγον ἀπο-
φηναμένων, ἐφόδιον εἰς βλασφημίαν λάβῃ
τῶν λόγων τὴν συμμετρίαν, δεῦρο δὴ σὲ πά-
λιν ὦ φιλότης ἐκεῖθεν σε διὰ τοῦ ἀέρος ἐπὶ τὴν
γῆν καταβιβάσωμεν, καὶ κατὰ βραχύ σε πά-
λιν καθάπερ τῇ προτεραίᾳ ποδηγήσαντες,
ἀποδείξωμεν καὶ ἐν τοῖς βραχυτάτοις τῆς κτί-
σεως μορίοις φαινομένην ταύτην καὶ δεικνῦ-

Ministerio de Educación, Cultura y Deporte

μένην, τοῖς προσέχειν ἐθέλουσι. καὶ ἁπαξαπλῶς τοῖς γῆν τὴν λαχοῦσι φύσιν, κοινῇ καὶ ἰδίᾳ συμπαρομαρτοῦσαν ἀεί. ὁδῷ τοίνυν βαδίζοντες, ἐξετάσωμεν τοῦ ἀέρος τὴν φύσιν, πῶς λεπτοτάτη μέν ἐστι, καὶ διολισθαίνουσα, καὶ ῥαδίως διαφεύγουσα, καὶ τῶν συνεχόντων δεομένη, διὸ τῶν ὅλων ὁ ποιητὴς οὐρανὸν, καὶ γῆν δημιουργήσας, ἐν μέσῳ τούτων διέχεε. καὶ τούτῳ τεῖχος ἀρραγὲς διὰ τῶν δύο τούτων σωμάτων μηχανησάμενος, καὶ αὐτὸν τοῖς ἐν μέσῳ τούτων ἐμψύχοις σώμασι, ζωῆς συνεργὸν ἀπέφηνας. τοῦτον γὰρ καὶ ἡμεῖς ἀναπνέοντες ζῶμεν οἱ ἄνθρωποι, καὶ τῶν ἄλλων δὲ ζώων ὅσα πτηνὰ, καὶ ἑρπετὰ, καὶ ἀμφίβια, τοῦτον ἔχει τῆς ζωῆς συνεργόν. οὗτος κινούμενος, τὴν ἀπὸ τῶν νεφῶν ἀρδείαν παραπέμπει τῇ γῇ. τούτῳ τὸ φῶς ὀχήματι κεχρημένον, ἐπὶ τῶν ὁρώντων τὰς ὄψεις. οὗτος ἡλίῳ καὶ γῇ μεσιτεύων, τὸ σφοδρὸν τῆς ἀκτῖνος κεραννυσι, καὶ τῇ οἰκείᾳ ὑγρότητι καὶ ψυχρότητι, τὴν ἐκείνου καταπραΰνων ξηρότητα καὶ θερμότητα, ἄλυπον ἡμῖν πραγματεύεται τοῦ φωτὸς τὴν ἀπόλαυσιν. ἵνα δὲ μὴ νομίσῃς αἴτιον τουτωνὶ τῶν ἀγαθῶν τὸν ἀέρα, μάνθανε ὡς καὶ τούτου τὴν ἀμετρίαν, ἡ τοῦ ἡλίου κοιμάζει θερμότης, ἀκραιφνῆ γὰρ οὐδεὶς ἂν ἤνεγκε τὴν του

Ministerio de Educación, Cultura y Deporte

ἀέρος ψυχρότητα. καὶ μάρτυς ἡ χειμέριος ὥρα. ἐν ταύτῃ γὰρ, ἐπὶ τὰ νοτιώτερα τοῦ πόλου διατρέχων ὁ ἥλιος, καὶ τὰ βορειότερα, καὶ τὰ μέσα καταλιμπάνων, ἄδειαν δίδωσι τῷ ἀέρι κεχρῆσθαι τῇ φύσει. οὗ χάριν, μηκέτι ὁμοίως δαπανώμενος ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος, πυκνούμενος δὲ καὶ συχνὸς γινόμενος, καὶ ὑετὸν ἀφίησι λάβρον, καὶ τῇ σφοδροτέρᾳ τῶν ἀνέμων προσβολῇ συχνὸν ἐξαφείζων, εἰς νιφετὸν μεταπήγνυσι καὶ χάλαζαν, καὶ τὴν ἐν ταῖς καθαραῖς αἰθρίαις ἀποστάζουσαν δρόσον τῇ αὔρᾳ πηγνὺς, ψυχρότητι τὴν πάχνην ἐργάζεται. καὶ ταῦτα εἰ καὶ πόρρωθεν, ἀλλ᾽ ὅμως τῷ ἡλίῳ θερμαινόμενος ἀποβάλλει. ἔστι δὲ καὶ ἐν τούτοις ἀκριβῶς καταμαθεῖν τοῦ θεοῦ τὴν προμήθειαν. ἐπειδὴ γὰρ πολλὴ καὶ μεγάλη τῶν στοιχείων ἡ χρεία, καὶ πρὸς τῇ χρείᾳ, πολὺ τὸ κάλλος, καὶ ἄρρητος ἡ ὥρα, τὰ δοκοῦντα λυπηρὰ γίνεσθαι, διὰ τούτων ὁ πάνσοφος ᾠκονόμησεν, ἵνα μὴ θεοὺς, ἀλλὰ θεοῦ ποιήματα ταῦτα εἶναι πιστεύωμεν, ἰθυνόμενά τε καὶ κυβερνώμενα ᾗ ἂν ἐκεῖνος ἰθύνῃ. τούτου χάριν ὁ τῆς ζωῆς ἡμῶν συνεργὸς ἀὴρ, ὃν ἀναπνέοντες διαζῶμεν ἅπαντες, ὁ κοινὸς οὗτος θησαυρὸς, καὶ πενομένων καὶ ἐπὶ πλούτῳ βρενθυομένων, οἰκετῶν καὶ δεσποτῶν, ἰδιωτῶν καὶ

βασιλέων,

Ministerio de Educación, Cultura y Deporte

βασιλέων, ὧν οὐ μᾶλλον τοῦ πένητος ἀναπνέου-
σιν οἱ τῇ ἁλουργίδι κοσμούμενοι, ἀλλὰ τῇ ἰσο-
μοιρίᾳ κατὰ τὴν τούτου χρείαν ἅπασα τῶν
ἀνθρώπων ἡ φύσις τετίμηται, οὐ μόνον ἡμᾶς
εὐφραίνει ταῖς ἀναπνοαῖς, καὶ ταῖς αὔραις,
καὶ τῇ τοῦ ὕδατος χορηγίᾳ, ἀλλὰ καὶ αἰτίᾳ τῷ
κρυμῷ, διδάσκων ἡμᾶς, ὡς οὐκ ἀρκεῖ μόνος
εἰς ζωογονίαν, καὶ τῶν ζώντων τὴν θεραπείαν.
Οὕτως ὁ ἥλιος οὐ μόνον εὐφραίνει τῇ προσβο-
λῇ τῶν ἀκτίνων ἡμᾶς, καὶ τὴν διαφορὰν δι-
δάσκει τῶν ὁρωμένων σωμάτων, ὄγκων τε καὶ χρω-
μάτων, ἀλλὰ καὶ αἰτίᾳ τῇ προσβολῇ τῶν ἀκτί-
νων, κἂν μὴ τὸν ἀέρα κινήσας ὁ τοῦ παντὸς ἡνίο-
χος, αὔρας ἡμῖν ψυχρὰς προσενέγκῃ, ὁ προσ-
κυνηθεὶς οὗτος ὑπὸ τῶν ἀνοήτων ἥλιος, ἄρ-
δην ἐμπίπρησιν ἅπαντα, καὶ τὸ ζῆν ἀφαιρεῖ-
ται τῶν προσκυνούντων. οὐδὲν τοιγαροῦν τῶν
στοιχείων αὐτὸ καθ᾽ ἑαυτὸ τῆς ζωῆς τυγχάνει
περιεκτικόν, οὔτε μὴν ἅπαντα κοινῇ κεραννύ-
μενα, δίχα τῆς τὰ πάντα κυβερνώσης δυνά-
μεως, ἀγαθοῦ τινος αἴτια γίνεται. ἔστι γὰρ πά-
λιν ἰδεῖν, εἰς εὔκρατον μὲν τὸν ἀέρα γεγενημέ-
νον, ἐνθὲ καιρὸν δὲ παραχεθέντα τὸν ὑετὸν τῇ
γῇ, ἀλύπως τὸν ἥλιον ταῖς ἀκτῖσι χρησάμε-
νον, τὰς τῶν ἀνέμων αὔρας κινηθείσας ἐν τά-
ξει, τοὺς γηπόνους ἐπιμελῶς τὴν γῆν γεωργοῦν-

τας, συνήθως καταβάλλοντας τὰ σπέρματα, καὶ οὔτε τὴν γῆν ἀγνωμόνως ἐκτίσασαν τὸν καρπὸν, οὔτε τῶν ἀνθρώπων τὴν φύσιν ἄγονον διαμείνασαν. ταῦτα δὲ ποιεῖ τῶν ὅλων ὁ πρύτανις, πείθων ἡμᾶς μὴ τῇ κτίσει θαῤῥεῖν, μηδ᾽ εἰς αὐτὴν ἀναφέρειν τῶν ἀγαθῶν τὴν αἰτίαν, ἀλλὰ τῷ ταύτης δημιουργῷ προσφέρειν. Ἐπειδὴ τοίνυν εἶδες καὶ τὸν ἀέρα τῆς τοῦ θεοῦ ἀπολαύοντα προμηθείας, καὶ δι᾽ ἐκεῖνον τοσαύταις ἐτῶν χιλιάσιν ἀρκέσαντα, καὶ μήτε ὑπὸ τῶν ἀναπνεόντων ζώων δαπανηθέντα, μήτε ἐκ τῶν συνεχόντων αὐτὸν σωμάτων ἐκρεύσαντα, δεῦρο σοι πρὸς τὴν γῆν ἀγάγωμεν, τὴν κοινὴν τροφὸν, καὶ μητέρα, καὶ τάφον· ἐξ ἧς ἔχομεν τὸ σῶμα τὸ πήλινον, καὶ τὸ στόμα τὸ κατὰ τοῦ πλάστου λαλοῦν μεγάλα κατὰ τὴν τοῦ δανιὴλ ὀπτασίαν. βλέπε τοιγαροῦν ταύτης πρὸ τῶν ἄλλων ἁπάντων τὴν θέσιν, καὶ τῶν σχημάτων τὴν ποικιλίαν, οὔτε γὰρ ὑπτία πᾶσα, οὔτε προσάντης, ἀλλ᾽ εἰς ὄρη καὶ νάπας καὶ πεδία διῄρηται. ἴδοι δ᾽ ἄν τις πεδίων ἐν μέσῳ μεγάλων λόφους εἰς ὕψος ἐπηγερμένους, καὶ μέσα ξὺ τῶν ὀρῶν, πεδινοὺς τόπους καὶ λείους, ἐν κόλπων τινῶν θαλαττίων σχήματι. καὶ τὰ ὄρη δὲ αὐτὰ πρὸς χρείαν τῶν ἀνθρώπων διεῖλεν ὁ ποιητὴς, καὶ εἰς κρημνοὺς διαστήσας βα-

Ministerio de Educación, Cultura y Deporte

θεὶς, τοῖς τε χειμαρρίοις ὕδασι τὰς πορείας ἐμηχανήσατο, καὶ τοῖς ἀνθρώποις εὐπόρους ἐν ταῖς δυσχωρίαις τὰς ὁδοὺς ἐπεκτήνατο. καὶ τὰ μὲν ὄρη, παρέχει τῇ τῶν οἰκοδόμων τέχνῃ τὰς ὕλας, τὰ δὲ πεδία, τοῖς ἐν τοῖς ὄρεσι διαιτωμένοις, ἀντιδίδωσι τῶν πυρῶν τὴν ἀφθονίαν. καὶ τὸ ποικίλον τῆς θέσεως, οὐ τρέφει μόνον, ἀλλὰ καὶ τέρπει τῶν ἀνθρώπων τὰς ὄψεις, φιλεῖ γὰρ τὰ μονοειδῆ ταχὺ ἐπάγειν τὸν κόρον. εἰπέ μοι, τίς ὁ ταῦθ' οὕτω διακοσμήσας, τίς ὁ τοσαύτην αὐτοῖς ἐναποθέμενος δύναμιν, ὥστε τοσούτων ἐνιαυτῶν κύκλους μὴ δαπανῆσαι τὸν θησαυρόν; τίς ὁ τὰ ὄντα διαφυλάττων ἀκίνητα; τίς ἐπείγει τῶν ποταμῶν τὰ ῥεύματα; τίς ὠθεῖ τῶν πηγῶν τὰς ὠδῖνας; βλέπε ταύτας ὧδε μὲν, ἐν ταῖς τῶν ὀρῶν κορυφαῖς ἀναβλυζούσας, ἐκεῖ δὲ, οὐδὲ ἐν ταῖς ὑπωρείαις φαινομένας, ἀλλ' ἐκ βαθυτάτων φρεάτων παρεχούσας τοῖς ἀνθρώποις τὰ νάματα. ἵνα γὰρ μὴ νομίσῃς αὐτόματον ἅλλειν ἄνω τῶν ὑδάτων τὴν φύσιν, διδάσκει σε ὁ ποιητὴς διὰ τῶν πραγμάτων, ὡς τῷ θείῳ λόγῳ πειθόμενον τὸ ὕδωρ, καὶ τὰς ἀκρωρείας ἀπόνως καταλαμβάνον, οὐ βιαζόμενον ὑπὸ τῆς σῆς τέχνης, εἰς τὴν τῶν πεδίων ἄνεισιν ἐπιφάνειαν· ἀλλ' ὀρύττεις μὲν καὶ βαθύνεις τὰ



Ministerio de Educación, Cultura y Deporte

φρέατα, ἀφθονίας δὲ τῶν ὑδάτων κάτωθεν
ἀνιμώμενος. ὁμόδουλος γάρ, ἀλλ' οὐ ποιητὴς
τῶν στοιχείων ὑπάρχεις. τῷ δὲ ποιητῇ ῥᾴδιον
οὐκ εἰς ἀκρώρειαν μόνον, ἀλλὰ καὶ εἰς ἀέρα μέ-
σον ἀναπᾶσαι τῶν ὑδάτων τὴν φύσιν, καὶ τὴν
πικρὰν γλυκᾶναι, καὶ πῆξαι τὴν λελυμένην,
καὶ λῦσαι τὴν δεδεμένην, καὶ τὴν συνεχῆ δια-
κρῖναι, καὶ τὴν ῥοώδη στῆσαι, καὶ τὴν κάτω φέ-
ρεσθαι πεφυκυῖαν ἀνατρέχουσαν δεῖξαι, καὶ τὴν
ψυχρὰν δίχα πυρὸς θερμανθῆναι. καὶ ταῦ-
τα ποιεῖ διὰ σὲ τὸν ἀχάριστον, ἵν' ἔχῃς ἀφθο-
νίαν καὶ θερμῶν ἀχειροποιήτων, ἵνα τὰ τοῦ
σώματος θεραπεύσῃς παθήματα. καὶ ταῦτα
δὲ πάλιν ποικίλα σοι τέθεικεν, εἰς ἐναν-
τίας χρείας ἁρμόζοντα. τὰ μὲν γάρ, χαυνοῖ
τὰ τεταμένα τῶν νεύρων. τὰ δέ, σφίγγει καὶ
τονοῖ τὰ λελυμένα. καὶ τὰ μέν, φλέγματι πο-
λεμεῖ. τὰ δέ, μελαίνῃ χολῇ. τὰ δέ, ἕλκη ξη-
ραίνει. τοσαύτην καὶ ἐν τοῖς θερμοῖς ὕδασι χρεί-
αν ὁ κηδεμών σοι προστέθεικε. σὺ δέ, οὐδὲν πεί-
θῃ μὴ βλασφημεῖν, ἀλλὰ μένεις ἀχαριστῶν, καὶ
λοιδορῶν, καὶ τὰ μανιχαίου νοσῶν, ὃς σιτίων
καὶ ποτῶν ἀφθόνων, λοιδορεῖται τοῖς χορη-
γοῦσι, καὶ θερισταῖς ὁμοῦ καὶ ἀρτοποιοῖς. καὶ
τοῖς τὸν ἄρτον διχῇ τέμνουσιν ἐπαρᾶται, αὐ-
τὸς τέμνειν μὲν οὐκ ἀνεχόμενος, ἐσθίων δὲ τὸ τε-

Ministerio de Educación, Cultura y Deporte

γινόμενον. Οὕτω καὶ σύ, μυρίων ὅσων ἀγαθῶν ἀπολαύων, ὧν ὁ δημιουργός σοι προσφέρει, καὶ δι᾽ ἑκάστην ἡμέραν διὰ τῆς κτίσεως ἀχαριστεῖς τῷ προσφέροντι, καὶ λοιδορεῖ καὶ βλασφημεῖς, λέγων αὐτὸν μὴ προνοεῖν ὧν πεποίηκεν. ὅρα δὲ πόσην ἀδικίαν αὐτοῦ καταψηφίζῃ, τοιαῦτα συκοφαντῶν. τί δήποτε γὰρ καὶ πεποίηκε, τούτων ἐπιμελεῖσθαι μὴ θέλων; τίνος δὲ χάριν οὐ κήδεται; ὡς δυνάμενος μέν, οὐ βουλόμενος δέ; ἀλλ᾽ ὅτι μὲν δύναται, μαρτυρεῖ τὰ γεγονότα. πῶς γὰρ ἂν ἐποίησε τῶν ὁρωμένων τὰ κάλλη, τὰ μεγέθη, τὴν ἁρμονίαν, δύναμιν οὐκ ἔχων ἀρκοῦσαν τῇ γλώττῃ; πῶς δ᾽ ἂν εἰς κοινωνίαν καὶ σχέσιν τὰ διεστῶτα συνήγαγεν, ὕδωρ καὶ πῦρ, ἡμέραν καὶ νύκτα, καὶ μίαν ἐκ πάντων ἁρμονίαν καὶ συμφωνίαν εἰργάσατο, ὁ προνοεῖν οὐ δυνάμενος; μεῖζον γὰρ πολλῷ τῷ μέτρῳ, τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγεῖν, τοῦ τῶν ὄντων προνοεῖν. ἀλλ᾽ ὅτι μὲν δύναται, μάρτυς ἡ κτίσις, ὅτι δὲ καὶ βούλεται, πάλιν αὐτὴ μαρτυρεῖ. οὐ γὰρ ἄλλου τινὸς ἀναγκάζοντος ἐπὶ τὴν δημιουργίαν ἐλήλυθεν, οὔτε μὴν ὡς δεόμενος τὴν κτίσιν παρήγαγεν, ἀλλ᾽ ἀγαθὸς ὤν, καὶ ἀγαθότητα ἔχων μέτρου παντὸς μείζονα, ἠθέλησε καὶ τοῖς μὴ οὖσι τὸ εἶναι δωρήσασθαι. ὁ δὲ τοσαύτῃ περὶ

τὰ μὴ ὄντα χρησάμενος ἀγαθότητι, πῶς ἂν γεγονότων ἀμελήσειεν; οὔτε γὰρ ἔστιν εἰπεῖν, ὡς ἐφθόνησε γεγονόσιν, ἄφθονον γὰρ ἔχει τὴν φύσιν, καὶ πάθους παντὸς ἐλευθέραν. ἵνα δὲ ἐκ πολλοῦ τοῦ περιόντος γυμνάσωμεν τὴν τῆς ἀσεβείας ἀσθένειαν, σμικρὸν ἢ αὐτοὺς περιερωτήσωμεν. τί δή ποτε γάρ, εἴπατε, τῇ τὸ εἶναι παρ' αὐτοῦ λαβούσῃ ἐφθόνησε κτίσει; διὰ τὸ μέγεθος; ἀλλ' αὐτὸς ἄκτιστός ἐστι καὶ ἀόριστος, οὔτε ἀρχὴν ἐσχηκώς, οὔτε τέλος δεξάμενος πώποτε, πάντα περιέχων, ὑπ' οὐδενὸς περιγραφόμενος, ἐν τῇ χειρὶ γὰρ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ αὐτὸς ἐμέτρησε τῇ χειρὶ αὐτοῦ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί. ἀλλὰ διὰ τὸ κάλλος; ἀλλ' ὑπ' αὐτοῦ γεγένηται. οὐδεὶς δὲ οὐδὲ τῶν ἄγαν φθονερωτάτων ἀνθρώπων, οἰκίαν εὐπρεπῆ καὶ λαμπρὰν δειμάμενος, ἐφθόνησε ταύτῃ πώποτε, ἀλλ' ἐναβρύνεται, καὶ σεμνύνεται, καὶ ὑπεργάνυται, καὶ τοῖς ἀγνοοῦσιν ἐπιδείκνυσιν. ὅσον δὲ τὸ τῆς κτίσεως κάλλος τοῦ νοεροῦ φωτὸς τοῦ πεποιηκότος ἀφέστηκε, τίς ἂν μετρήσειε λόγος; ὁρᾶτε τοιγαροῦν, ποῦ τὰ τῆς ἀσεβείας κεχώρηκε; τῶν γὰρ πονηροτάτων ἀνθρώπων, οὐ μόνον οὐ φθονούντων ταῖς ὑπ' αὐτῶν οἰκοδομουμέναις οἰκίαις, ἀλλὰ καὶ λίαν ὑπ' αὐ-

Ministerio de Educación, Cultura y Deporte

ταῖς λαμπρυνομένων, τὴν τῆς ἀγαθότητος πηγήν, καὶ ὑπ' οὐδενὸς πάθους θολοῦσθαι πεφυκυῖαν, φθόνῳ βάλλεσθαι λέγειν, ποίας ἀσεβείας ὑπερβολὴν καταλείπει; εἰ τοίνυν καὶ δύναται κατέχειν τοὺς τῆς κτίσεως οἴακας, καὶ βούλεται αὐτὴν πάντων ἀγαθῶν ἀπολαύειν, δῆλον ὅτι καὶ κήδεται καὶ ἐφέστηκε. καὶ τῶν ἡνίων ἐπειλημμένος, τὴν γενητὴν ἅπασαν φύσιν ἡνιοχεῖ, καὶ οὐδὲν ἀτημέλητον καταλείπει. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, κατάβηθι πάλιν ἐπὶ τὴν θάλατταν, καὶ βλέπε ταύτης τὰ κήτη, τὰ μεγέθη, τὴν εἰς πελάγη διαίρεσιν, τὰς ἀκτάς, τοὺς ὅρμους, τὰς ἐν μέσῳ νήσους, τῶν ἰχθύων τὰ γένη, τὰ εἴδη, τὰ χρώματα, τὴν ποικιλίαν, τὴν πρὸς τὴν χέρσον φιλίαν, τὰ τῶν κυμάτων σκιρτήματα, τὸν ἐπικείμενον αὐτοῖς τῆς προνοίας χαλινόν, δι' ὃν τὴν ἤπειρον ἐπικλύσαι οὐ δύναται, ἀλλ' ὁρμῶντα κατὰ τῆς ψάμμου φοβεῖται τοὺς ὅρους. καὶ τὸν θεῖον ἐκεῖ νόμον γεγραμμένον ὁρῶντα, οἷόν τις γαῦρος ἵππος ἀγχόμενος ὑπὸ πωλοδάμνου ἀνακλᾷ τὸν αὐχένα, καὶ εἰς τοὐπίσω χωρεῖ, ὥσπερ μεταμελόμενα ὅτι καὶ τῇ ψάμμῳ προσέψαυσε. διὰ ταύτης ἔστιν ἰδεῖν τὰς μεμορισμένας ἠπείρους, καὶ πόρρωθεν ἀλλήλων καθημένας, εἰς φιλίαν συνα-



Ministerio de Educación, Cultura y Deporte

πορείας. ὁμόνοιαν γὰρ ἐνθεῖναι τῇ φύσει τῶν ἀνθρώπων ὁ ποιητὴς ἐθελήσας, ταῖς χρείαις αὐτῶν ἀλλήλους συνέδησε. διὰ ταύτας τὰς μακρὰς ἀποδημίας ποιούμεθα, καὶ τὰς χρείας παρ' ἀλλήλων ἐρανιζόμεθα, καὶ τῶν ἀναγκαίων τὰς ὕλας ἀλλήλοις ἀντιδίδομεν. οὔτε γὰρ εἴασεν ὁ κηδεμὼν ἕκαστον τμῆμα τῆς γῆς ἅπασαν τοῖς ἀνθρώποις παρέχειν τὴν χρείαν, ἵνα μὴ τὸ ἀνενδεὲς τῇ φιλίᾳ λυμήνηται, ὑβριστὴς γὰρ ὁ κόρος καὶ ἀταξίας πατήρ. πρόκειται γὰρ ἡ θάλασσα μέση τῆς οἰκουμένης, εἰς κόλπους μυρίους διῃρημένη, οἷόν τις πόλεως μεγίστης ἀγορὰ, πᾶσαν τῶν ἀναγκαίων τὴν ἀφθονίαν παρέχουσα, καὶ πολλοὺς πρατῆρας καὶ ὠνητὰς δεχομένη, καὶ τούς τε ἐκεῖθεν ἐνταῦθεν παραπέμπουσα, καὶ τοὺς ἐκεῖθεν ἄγουσα τῇδε. ἐπειδὴ γὰρ ἐπίπονος ἡ διὰ τῆς ἠπείρου πορεία, οὐδ' ἐπίπονον δὲ μόνον ἦν, ἀλλὰ καὶ ἀδύνατον διὰ ταύτης πᾶσαν ἀναπληρῶσαι τὴν ἔνδειαν, πρόκειται τῆς θαλάττης τὰ νῶτα σκάφη καὶ σμικρὰ καὶ μεγάλα δεχόμενα, καὶ φόρτον πολὺν καὶ ἀναγκαῖον τοῖς δεομένοις κομίζοντα. ἔστι γὰρ ἰδεῖν μιᾶς ὁλκάδος φορτία, πολλὰς κτηνῶν χιλιάδας ἀχθοφοροῦσας. ἵνα δὲ μὴ δυσχεραίνωσιν οἱ ταύτης ὁδῖται, οἷόν τινας σταθμοὺς κατέπηξε τὰς νήσους ὁ ποιη-

Ministerio de Educación, Cultura y Deporte

της, ἐν αἷς καταγόμενοι, διαναπαυόμενοι, καὶ τὰς χρείας ὠνούμενοι, πάλιν ἀπαίρωσιν ἔνθα ἂν τὴν ὁρμὴν ἔχωσιν. αἰσχύνθητι τοιγαροῦν τῶν εὐεργετῶν τὸ πλῆθος εἶπεν ἡ θάλασσα, ἁρμόττει σοι γὰρ μᾶλλον, ἢ τῇ Σιδῶνι τοῦ προφήτου τὰ ῥήματα. ἡ μὲν γὰρ ἀγνοοῦσα τὸν ποιητὴν, εἰς πολλοὺς τὸ θεῖον διῄρει θεοὺς, καὶ τὴν μίαν προσκύνησιν κατατέμνουσα, τοῖς μὴ οὖσι ταύτην προσέφερεν, οὐκ ἀρνουμένη τὴν πρόνοιαν, ἀλλὰ τούτοις αὐτὴν προσάπτουσα, οὐ γὰρ ἂν ἔθυεν οἷς ἐνόμιζε θεοῖς, εἰ μὴ λίαν ἑαυτὴν ἔπειθεν, ὡς καὶ ὠφέλειαν παρέχοιεν, καὶ βλάβην ἀποτρέποιεν. σὺ δὲ τῆς πολυθέου πλάνης ἀπηλλαγμένος, καὶ πάντα τὰ ὁρώμενα ὁμολογῶν εἶναι ποιήματα, καὶ τὸν τούτων ποιητὴν προσκυνῶν, ἐκβάλλεις αὐτὸν ὧν ἐποίησε, καὶ πόῤῥω που καθίζεις τῆς κτίσεως, καὶ τὸν τοσοῦτον κόσμον ἀκυβέρνητον εἶναι λέγεις, καὶ οἷόν τι σκάφος ἀνερμάτιστον ὡς ἔτυχε φέρεσθαι. αἰσχύνθητι τοιγαροῦν τὰς διὰ θαλάττης εὐεργεσίας, τὰς ἐκ γῆς, τὰς ἐξ ἀέρος, τὰς ἐξ ἡλίου, οὐρανὸν τὸν ἐπικείμενον ὄροφον. αἰδέσθητι τὸν δεσμὸν, ὃν λαμβάνεις παρὰ τῆς κτίσεως, δεσμοφορεῖ γάρ σοι τῶν εἰρημένων ἕκαστον, καὶ οἷόν τινα φόρον προσφέρει τὴν χρείαν. ἥλιος μὲν, φωτίζει,

Ministerio de Educación, Cultura y Deporte

θερμαίνει, τοὺς ἐκ γῆς πεπαίνει καρπούς. σελήνη, δᾳδουχεῖ σοι νύκτωρ. ἀστέρες, ἐπὶ γῆς μένοντί σοι, τὸν νυκτερινὸν δηλοῦσι καιρὸν, καὶ τῶν ὡρῶν τὰς μεταβολὰς προσημαίνουσι. θαλαττίῳ δέ σοι πνεομένῳ, πρόσγειοι γίνονται πρὸς τὴν ἤπειρον. ἀὴρ, ἀλλὰ πνεόμενος μὲν, τὴν ἔμφυτόν σου καταψύχει θερμότητα. ὕων δὲ, τοὺς τῆς γεωργίας ἐκτρέφει καρπούς. κρυμὸν ἐργαζόμενος, παύει μὲν τὴν πρὸς τὰ ἄνω βλάστην, καὶ φυτῶν καὶ σπερμάτων, εἰς δὲ τὰς ῥίζας ἐκπέμπει τὴν αὐξητικὴν δύναμιν, καὶ οἷόν τινι μάστιγι τῷ κρυμῷ, τὴν ἄνω φερομένην ἐπὶ τὰ κάτω διώκει. διαφθείρει δὲ τῶν ἑρπετῶν τὰ σώματα, καὶ φυτοῖς καὶ σπέρμασι λυμαινόμενα. χορηγεῖ σοι τῷ τροφίμῳ ὀρνίθων τὰ γένη. καὶ τί δεῖ λέγειν, τοὺς ἀπὸ γῆς καρπούς, τοὺς ἐκ πηγῶν, τοὺς ἐκ ποταμῶν, τοὺς ἐκ θαλάττης; τούτων ἀχαρίστως ἀμνημονεῖς τοῦ δοτῆρος; καὶ τὴν κτίσιν θαυμάζων, κατὰ τοῦ κτίστου λυττᾷς καὶ μέμηνας καὶ παραπαίεις; καὶ οὐκ αἰσθάνῃ τῶν δωρεῶν, ταύτας ἐν ταῖς χερσὶ περιφέρων, ἀλλ' ὠδίνεις τὴν ἀντίρρησιν; οἶδα γάρ σου τὰς ἀντιρρήσεις, ἐγὼ δὲ οὔτε ταύτας τῷδε τῷ λόγῳ προσθήσω, οὔτε τὰς λύσεις προσαρμόσω. ἕτερον δὲ λόγου σκοπὸν ἔχων, τὴν ὑπὸ σοῦ πολεμουμένην προμήθειαν, ὑφῆναι διὰ τούτων βεβούλημαι. ἐν-

ταῦτά σοι τοίνυν καταλιπών, καὶ τῇ τῶν εἰρημένων ἐντρυφῆσαι θεωρίᾳ παρακαλέσας, καὶ πανταχόθεν ἑλκύσαι τὴν ὠφέλειαν, τὸν τοῦ παντὸς κυβερνήτην ὑμνήσω. ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν:~

## ἈΠΟΔΕΙ'ΞΕΙΣ ἈΠΟ' ΤΗ͂Σ ΤΟΥ͂ ἀνθρωπείου σώματος κατασκευῆς, λόγος γ'.

Οἱ μὲν εὖ μάλα πως τὸ σῶμα διακείμενοι, τῆς ἀπὸ τῶν ἰατρῶν θεραπείας οὐ δέονται, ἀκραιφνὴς γὰρ ὑγεία τῆς τῶν φαρμάκων ἐπικουρίας οὐκ ἐνδεής, οἱ δ' ὑπὸ νόσου πολεμούμενοι, καλεῖν εἰώθασι τοὺς ἰατροὺς εἰς βοήθειαν, καὶ τοῖς ὅπλοις τῆς τέχνης κατὰ τῶν παθῶν χρώμενοι συμμάχοις, ὥσπερ τινὰς πολεμίους ἐκ τῶν σωμάτων διώκειν ἐπιχειροῦσιν. ἰατρικὴ γὰρ τέχνη σωμάτων ἐπίκουρος, καὶ παθῶν ἐπίβουλος. καὶ τὰς ψυχὰς τοίνυν οἱ μὲν ἐρρωμένας ἔχοντες, καὶ τῇ τῆς εὐσεβείας ὑγείᾳ λαμπρυνομένας, τῶν διδασκαλικῶν φαρμάκων οὐ χρῄζουσιν, οἱ δὲ προλήψει πονηρᾷ κατεχόμενοι, καὶ τῶν βδελυρῶν δογμάτων τὴν νόσον δεξάμενοι, καὶ τῷ χρόνῳ τὴν διάθεσιν ἕξιν ἐργασάμενοι, πολλῶν μὲν δέονται καθαρτηρίων, τῶν μα-

Ministerio de Educación, Cultura y Deporte

χθηρὰν ἐκείνην ὕλην ἀναμοχλεῦσαι δυναμένων, καὶ τὰς ψυχὰς καθαρὰς ἀποφῆναι, πολλῶν δὲ φαρμάκων τοῖς γεννητικοῖς ἐκείνης πόροις τῷ δραστηρίῳ κλειόντων τε καὶ φραττόντων, καὶ τὰς πονηρὰς ὠδῖνας παυόντων. ἐπειδὴ τοίνυν παγχάλεπος καὶ δυστράπελος τῶν τὴν κτίσιν προνοίας ἀποστερεῖν ἐπιχειρούντων ἡ νόσος, δύο μὲν αὐτοῖς ἤδη φάρμακα προσενηνέγκαμεν ἐκ τῶν τῆς κτίσεως μορίων ταῦτα κεράσαντες, ἵνα δὲ πρόρριζον ἀνασπάσωμεν τὴν νόσον, καὶ τέλεον αὐτοὺς τῆς χαλεπῆς ἀπαλλάξωμεν ἀῤῥωστίας, καὶ τρίτον αὐτοῖς κατασκευάσαι τε καὶ προσενεγκεῖν πειρασόμεθα, τῆς δὲ κατασκευῆς τὰς ὕλας οὐκ ἐξ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης, οὐδ' ἐξ ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων φωστήρων, οὐδ' ἐξ ἀέρος καὶ νεφῶν καὶ πνευμάτων, οὐδ' ἐκ ποταμῶν καὶ πηγῶν καὶ φρεάτων, ἀλλ' ἐξ αὐτῶν τῶν βλασφημεῖν ἐπιχειρούντων ληψόμεθα. σῶμα γὰρ εἰληφότες παρὰ τοῦ κτίσαντος, ἵν' ὑπὲρ ὧν ἀπολαύουσιν ἀγαθῶν, τῷ δοτῆρι τὸν ὕμνον προσφέρωσιν, ὑμνεῖν οὐκ ἐθέλουσι μὲν, ἀλλὰ καὶ βλασφημίαις τὴν γλῶτταν μιαίνουσι, καὶ τὸ λογικὸν ἀτιμάζουσιν ὄργανον. ἀρκεῖ δὲ καὶ τοῦτο μόνον τὸ μόριον δεῖξαι τοῦ πεποιηκότος, οὐ τὴν σοφίαν μόνον, ἀλλὰ καὶ

Ministerio de Educación, Cultura y Deporte

τὴν ἄπληστον φιλανθρωπίαν. ὀργάνῳ γὰρ ἔοι-
κεν ἀπὸ χαλκῶν συγκειμένῳ καλάμων, καὶ ὑ-
π' ἀσκῶν ἐκφυσωμένῳ, καὶ κινουμένῳ ὑπὸ τῶν
τοῦ τεχνίτου δακτύλων, καὶ ἀποπληροῦντι τὴν
ἐναρμόνιον ἐκείνην ἠχώ. ἀλλ' οὐχ ἡ φύσις
παρὰ τῆς τέχνης, ἡ τέχνη δὲ παρὰ τῆς φύσεως
ἐδιδάχθη τῆς τερπνῆς ἐκείνης ἠχῆς τὸ μηχά-
νημα, ἀρχέτυπον γὰρ τῆς τέχνης ἡ φύσις, ἴν-
δαλμα δὲ τῆς φύσεως ἡ τέχνη. ἄθρει τοιγα-
ροῦν ὁ λόγου μὲν τετυχηκώς, ἀτιμάζων δὲ τῇ
τιμῇ τὸν τιμήσαντα, πῶς ὑπόκειται μὲν ὁ
πνεύμων δίκην ἀσκοῦ, ἀποθλίβουσι δὲ αὐτὸν,
οὐ πόδες ἀνθρώπου, ἀλλ' οἱ περικείμενοι τῷ
θώρακι μύες, συστέλλοντες αὐτὸν καὶ διαστέλ-
λοντες. ἀναπέμπει δὲ οὗτος διὰ τῆς τραχείας
ἀρτηρίας τὸ πνεῦμα, τὸ δὲ, συνωθούμενον,
ἀνοίγει μὲν τὴν ἐπιγλωττίδα, φέρεται δὲ διὰ
τοῦ φάρυγγος πρὸς τὸ στόμα. ὁ δὲ λόγος, τῆς γλώττης
οἷά τινος δεξιᾶς ἐπειλημμένος, ταύτην τοῖς
ὀδοῦσι καθάπερ τοῖς χαλκοῖς ἐκείνοις προσ-
φέρει καλάμοις, καὶ ἄνω καὶ κάτω διαθεῖν,
καὶ διολισθαίνειν εὐπετῶς καὶ μάλα ῥᾳδίως
κατασκευάζει. συνεργεῖ δὲ αὐτῇ πρὸς τὴν
εὐκολίαν τοῦ δρόμου, ὁ ὑποκείμενος ἀδήν,
οἷά τις λιβὰς ἀναβλύζων νοτίδα. ἐπειδὴ γὰρ
αὐτὴν ὁ συχνὸς καταξηραίνει δρόμος, ἐδεῖτο

Ministerio de Educación, Cultura y Deporte

μετρίας ὑγρότητος, τεγγούσης αὐτὴν καὶ λεαινούσης, καὶ τὴν κίνησιν ῥᾳστην ἐργαζομένης. οὕτω τοιγαροῦν διὰ τῆς γλώττης τοῖς ὀδοῦσι τοῦ λόγου προσομιλοῦντος, καὶ τοῦ πνεύματος ὡς ἔφην φορουμένου, καὶ τῶν χειλέων πτυσσομένων, καὶ τοῦ ἀέρος τῇ φορᾷ τοῦ πνεύματος ἐναρμονίως πληττομένου, ἡ ἔναρθρος ἀποτελεῖται φωνή, καὶ γίνεται ὄχημα τοῦ λόγου τὸ ἔνδοθεν ἐκφερόμενον πνεῦμα, καὶ ὡς περιττὸν ἀπωθεῖται τὸ λιγνυῶδες ἡ φύσις. ἐπειδὴ γὰρ τοῦ ἐμψύχου θερμοῦ, πηγὴν τὴν καρδίαν ὁ πλάστης πεποίηκε, καὶ ἐκ τοῦδε τοῦ μορίου πᾶν τὸ σῶμα τῆς θερμῆς μεταλαμβάνει ποιότητος, ἐδεῖτο δὲ καὶ μικρᾶς τινος ἀναψύξεως πολλῷ τῷ θερμῷ συνεχομένη, καταπνεῖσθαι αὐτὴν διὰ τοῦ πνεύμονος πεποίηκεν ὁ τῆς φύσεως ποιητής. οὗτος γὰρ διὰ μὲν τῆς τραχείας ἀρτηρίας τὸ καθαρὸν ἔξωθεν δέχεται πνεῦμα, διὰ δὲ τῆς λείας τοῦτο παραπέμπει τῇ ὁμωνύμῳ τῆς καρδίας κοιλίᾳ, ἐκεῖθεν γὰρ ὥς φασιν οἱ τὰ τοιαῦτα ἀκριβῶς ἱστορήσαντες, αὐτὴ τὴν ἔκφυσιν ἔχει. παραπέμπων δὲ οὗτος ὁ πνεύμων τὸ καθαρὸν πνεῦμα, τὸ λιγνυῶδες ἀντιλαμβάνει, καὶ τοῦτο ὡς περιττὸν διὰ τῆς τραχείας ἀρτηρίας αὖθις τὰ ἔξω πάλιν ὠθεῖ. καὶ γίνεται τὸ πε-

Ministerio de Educación, Cultura y Deporte

ριπτὸν καὶ ἄχρηστον παντελῶς, τοῦ νοῦ βουλη-
θέντος, καὶ τὴν γλῶτταν ἐν ῥυθμῷ καὶ ἁρ-
μονίᾳ κινήσαντος, ὄχημα τοῦ λόγου. καὶ τὸ ὡς
βλαβορὸν ἀπὸ τῆς καρδίας ἐκφορούμενον,
καὶ ἀπὸ τοῦ πνεύμονος ὠθούμενον, τῆς ἐνάρ-
» θρου φωνῆς γίνεται σαυοργόν. ἀληθῶς ὦ βά- ῥωμ.
» θος πλούτου καὶ σοφίας καὶ γνώσεως τοῦ ια.
» θεοῦ. ἀληθῶς τίς λαλήσει τὰς δυναστείας ψαλ.
» τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέ- ρέ.
» σεις αὐτοῦ; ἀληθῶς ὡς ἐμεγαλύνθη τὰ ἔργα ψαλ.
» σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. ποῖος ργ'.
ἀπόχρη λόγος εἰς ὑμνῳδίαν τοῦ κτίσαντος;
ποῖος ἀρκεῖ λόγος εἰς τὴν τῆς οἰκείας δημιουρ-
γίας διήγησιν; τίς ἱκανὸς ἑρμηνεῦσαι λόγος
τοῦ λόγου τὰ ὄργανα; τίς εἰς τοσοῦτον σοφίας
ἀφίκετο, ὡς τοῦ πλάστου τὴν σοφίαν ἀκριβῶς
θεωρῆσαι; σὺ δὲ ταῦτα βλέπων, καὶ τού-
των ἀπολαύων, οὐδ᾽ ὑμνεῖν ἐθέλεις τὸν τούτων
αἴτιόν σοι γεγενημένον, ἀλλ᾽ ἀμέλειαν κατηγο-
ρεῖς τοῦ πᾶσαν ἐπιμέλειαν ὧν πεποίηκε ποιου-
μένου. καὶ μὴν ἤρκει τοῦτο μόνον τὸ μόριον δεῖ-
ξαι τοῦ ποιητοῦ τὴν περὶ τὸ ζῶον κηδεμονίαν,
λογικὸν γὰρ ἐργασάμενος, πεποίηκε πρόσφο-
ρα τῷ λόγῳ τὰ ὄργανα. ἐντεῦθεν ἡ τέχνη τὴν
μίμησιν ἐρανισαμένη, καὶ αὐλοὺς ἐτεκτήνα-
το, καὶ λύρας καὶ κιθάρας συνέθηκε. καὶ

Ministerio de Educación, Cultura y Deporte

ἀντὶ μὲν τῶν ὀδόντων, διέτεινε τὰς χορδάς, ἀντὶ δὲ τῶν χειλέων, ἐνέθηκε τὸν χαλκόν. γλῶττα δὲ ταῖς χορδαῖς γίνεται τὸ πλῆκτρον. ἡ δὲ διὰ τῆς χειρὸς ἐπὶ τὴν ὀξεῖαν καὶ βαρεῖαν μετάβασις, μιμεῖται τὸν λόγον, ἄνω καὶ κάτω διατρέχειν τὴν γλῶτταν παρασκευάζοντα. ἀλλ' ὅμως καὶ τοσαύτης ἀκριβείας ἐν τῇ τέχνῃ φαινομένης, τὸν μὲν ῥυθμὸν καὶ τὴν ἁρμονίαν τοῦ μέλους, θαυμάζουσιν οἱ ἀκούοντες, ἐνάρθρων δὲ τῶν λόγων οὐκ ἐπακούουσι, μίμημα γὰρ τῆς φύσεως ἡ τέχνη, ἡ δὲ φύσις, ἔναρθρον ἀποτελεῖ τὴν φωνήν, θεοῦ γὰρ αὕτη ποίημα, τοῦ τῶν ἁπάντων δημιουργοῦ. καὶ καθάπερ ἡ τέχνη μιμεῖται τὸ ζῶον, καὶ τὸν χαλκὸν ἢ τὸν λίθον εἰς ἀνθρωπείαν ἐντυποῖ μορφήν, καὶ ὀφθαλμοὺς καὶ ῥῖνα καὶ στόμα καὶ ἀκοάς, τράχηλόν τε καὶ χεῖρας καὶ στήθη καὶ κοιλίαν, μηρούς τε καὶ σκέλη καὶ πόδας περιτίθησιν, αἴσθησιν δὲ καὶ λογισμόν, καὶ τὴν ἑκούσιον κίνησιν οὐκέτι ἰσχύει χαρίσασθαι, οὕτω λύρα καὶ κιθάρα, καὶ τὸ ἐκ τῶν χαλκῶν καλάμων ὄργανον, ἐναρμόνιον μὲν ἠχὴν καὶ ῥυθμὸν διὰ τῶν ἐμφυσημάτων, ἢ κρουσμάτων ἀποτελεῖ, ἔναρθρον δὲ φωνὴν μόνον ἀποτελεῖ τὸ ἀρχέτυπον ὄργανον. ἐκεῖνο μὲν γὰρ αὐτοῦ τοῦ δημιουργοῦ ποίημα, ἐκεῖνα δὲ πάντα, τῆς τοῦ

δημιουργοῦ

Ministerio de Educación, Cultura y Deporte

δημιουργοῦ εἰκόνος. ὡς ποιητοῦ γὰρ εἰκὼν ὁ ἄνθρωπος, τὸν ποιητὴν μιμεῖσθαι φιλονεικεῖ. καὶ ἔοικε τὰ γινόμενα σκιαῖς πρὸς ἀλήθειαν ἁμιλλωμέναις, αἳ τὸν μὲν τύπον ἔχουσι, τῆς δὲ ἐνεργείας ἐστέρηνται. τοσαύτην τοιγαροῦν ὁρῶν ἐν τοῖς ὀργάνοις τοῦ δημιουργοῦ τὴν πρόνοιαν, παῦσαι ταύτῃ ῥαθυμίαν ἐγκαλῶν.

Ἵνα δὲ μάθῃς καὶ ἐκ τῶν ἄλλων μελῶν τὴν περὶ ἡμᾶς τοῦ πεποιηκότος κηδεμονίαν, δεῦρο πάλιν πρὸς αὐτήν σε τὴν καρδίαν ἀγάγωμεν. ταύτην τοίνυν κυριώτατον οὖσαν μόριον, καὶ τὴν ἡγεμονίαν τοῦ σώματος πεπιστευμένην, καθάπερ τινὰ βασιλέα πάντοθεν περιφράττει, καὶ περίβολον αὐτῇ ἰσχυρὸν τὸν θώρακα περιτίθησιν, ἵνα μηδὲν αὐτὴν ῥᾳδίως τῶν ἔξωθεν προσπιπτόντων λυπῇ. Ἐπειδὴ δὲ δινεκῶς κινεῖται, ἀρτηριῶν γὰρ αὕτη πηγὴ, κάτωθεν μὲν ὑπέστρωσεν ἐν αὐτῇ, οἷόν τινα στρωμνὴν μαλακὴν, τὸ μανὸν καὶ σπογγῶδες καὶ πολύπορον καὶ ἀρτηριῶδες τοῦ πνεύμονος σῶμα, ἄνωθεν δὲ, τό τε κωνοειδὲς αὐτῆς ἰσχυρὸν ἀπειργάσατο, καὶ χιτῶνα ὑμενώδη μὲν, στεγανὸν δὲ καὶ ἰσχυρὸν περιτέθεικεν. ὕλην δὲ τροφῆς αὐτῇ χορηγεῖ οὐ τὸ πνεῦμα μόνον, ἀλλὰ καὶ τὸ αἷμα, ἕλκει δὲ τοῦτο οἷον διά τινος ὁλκοῦ τῆς κοίλης φλεβὸς, ἀπὸ τῶν τοῦ ἥπα-

χους μορίων. τὸ δὲ ἧπαρ, ἐκ τῆς γαστρὸς ταύ-
την αἱμάττει τὴν ὕλην. ἡ δὲ γαστὴρ, διὰ τοῦ
στομάχου τὴν ἀπὸ τῶν ὀδόντων τεμνομένην,
καὶ ἀπὸ τῶν μυλῶν λεπτυνομένην τε καὶ λεαι-
νομένην ἕλκει τροφὴν, ἕλκουσα δὲ, πρότερον
κατέχει καὶ χυλοῖ καὶ ἀλλοιοῖ καὶ μεταβάλ-
λει, καὶ πρὸς ἑαυτὴν ὁμοιοῖ, εἶτα διαπεφθεῖ-
σαν καλῶς καὶ ἀλλοιωθεῖσαν, ἀποκρίνει δι-
καίως, καὶ παραχωρεῖ μὲν τῷ ἥπατι διηθεῖν
καὶ ἕλκειν ταύτης τὸ καθαρὸν, τὸ δὲ περιτ-
τὸν ἀπωθεῖται, καὶ τοῖς ἐντέροις παραπέμ-
πει, τῇ προωστικῇ δυνάμει συνεργῷ κεχρη-
μένη. οὕτω τὸ ἧπαρ τὸ καθαρὸν τῆς τροφῆς
ἀποδεξάμενον, οὐκ ἀρκεῖται τῇ γενομένῃ κα-
θάρσει καὶ διακρίσει, ἀλλ' οἷόν τισι πάλιν
ἰθμοῖς, ταύτην διαιρεῖ καὶ καθαίρει, καὶ τὴν
μὲν οἷον ὑποστάθμην καὶ παχυτάτην τρύ-
γα, διά τινων αὐλῶν ἕλκων ὁ σπλὴν, ταύτην
ποιεῖται τροφὴν, τὸ δὲ πέρα τοῦ μέτρου πε-
φθὲν, καὶ τὴν χολώδη μεταλαβὸν ποιότητα,
καὶ εἰς τὸ ὠχρὸν μεταπεσὸν σῶμα, λαμβάνει τὸ
χοληδόχον ἀγγεῖον, τὸ δὲ ὀρρῶδες καὶ λίαν λε-
πτὸν, καὶ τροφῆς ἄμοιρον, εἰς τὸ τῶν ὑγρῶν
περιττωμάτων δοχεῖον χωρεῖ. οὕτως ἀκραι-
φνῶς καθαρὰν τὴν τροφὴν ἐκείνην γενομέ-
νην, καὶ ὁμοιωθεῖσαν τῷ ἥπατι, καὶ εἰς αἷμα



Ministerio de Educación, Cultura y Deporte

τος μεταβαλοῦσαν φύσιν, ἡ κοίλη παραλαβοῦσα φλὲψ, χορηγεῖ μὲν τῇ καρδίᾳ τὴν χρείαν, ἄνεισι δὲ ἄνω, καὶ εἰς πολλὰς διασχιζομένη φλέβας, τρέφει μὲν τὸν θώρακα, τρέφει δὲ ὤμους, καὶ χεῖρας, ἀφικνεῖται δὲ μέχρις ὀνύχων, περιπλέκεται τῷ τραχήλῳ, καταλαμβάνει τὴν κεφαλὴν, κάτεισιν εἰς γλουτοὺς καὶ μηροὺς καὶ γόνατα καὶ σκέλη καὶ πόδας, καὶ ἁπαξαπλῶς, ἅπαν τὸ τοῦ σώματος περινοστεῖ μόριον, καὶ οὐδὲν τῶν ζώντων μελῶν, ταύτης ἀμοιρεῖ τῆς ἀρδείας. ὁλκοῖς γάρ τισι καὶ ὀχετοῖς ἐοίκασιν αἱ φλέβες ἄρδειν τὸ σῶμα πεπιστευμέναι, διὸ καὶ λεπτὸν καὶ μανὸν ἔχουσι τὸν χιτῶνα, ὥστε ῥᾳδίως τὰ παρακείμενα μόρια τὴν τροφὴν ἐκεῖθεν ἀρύεσθαι. αἱ δὲ ἀρτηρίαι οὐ στεγανοὺς μόνον, ἀλλὰ καὶ διπλοῦς ἔχουσι τοὺς χιτῶνας, πνεύματος γὰρ ἀλλ' οὐχ αἵματός εἰσι δοχεῖα, λεπτομερὲς δὲ καὶ ῥᾳδίως ἐκρεὲς τὸ πνεῦμα. βλέπε τοιγαροῦν κἀνταῦθα τοῦ ποιητοῦ τὴν προμήθειαν, τὰς μὲν γὰρ φλέβας, αἳ τὸ αἷμα τοῖς μορίοις τοῦ σώματος κομίζουσας, ἀπὸ λεπτῶν ὑμένων πεποίηκε, καὶ οἷον ἀραιά τινα τῇ ῥυμαλίᾳ αὐτῇ περιβόλαια περιτέθεικε, παχυμερὲς ἦ τὸ σῶμα, καὶ μεγάλων εἰς ἔκκρισιν δεόμενον πόρων. ἵνα τοίνυν καὶ μὴ ἅπαν ἐκρέῃ, καὶ οἷον



Ministerio de Educación, Cultura y Deporte

τινα νοτίδα τοῖς περικειμένοις παρέχῃ μορίοις, τοιαύτην τοῖς ἀγγείοις τὴν φύσιν πεποίηκε. τὰς δὲ ἀρτηρίας τὸ πνεῦμα πανταχοῦ κομιζούσας, λεπτομερὲς δὲ ὄντως, καὶ ῥαδίως φροῦδον γινόμενον, καὶ διὰ τῶν σμικροτάτων μερῶν εὐχερῶς ἐκκενούμενον, οὐκέθ' ὁμοίως ὁ πλάστης ἐξύφηνεν, οὐδὲ ἐξ ἑνὸς αὐτὰς μόνου χιτῶνος ἐποίησεν, ἀλλ' ἐκ δύο στεγανῶν καὶ λίαν συνεχῶν. παρέθηκε δὲ ταῖς φλεψὶ τὰς ἀρτηρίας, ἵνα τῇ κινήσει τοῦ θερμοῦ πνεύματος τὸ αἷμα νυττόμενον, πανταχοῦ διατρέχῃ, οἶδε γὰρ ἡ στάσις τὴν πῆξιν ἐργάσασθαι. τούτου χάριν ἐν πᾶσι μορίοις ἀνέφυσε ταύτας ἀλλήλαις διὰ σμικροτάτων τινῶν πόρων, ὅπως καὶ τὸ αἷμα βραχέος τινὸς μεταλαμβάνῃ πνεύματος, ὠθοῦντος αὐτὸ καὶ κινεῖσθαι βιαζομένου, καὶ τὸ πνεῦμα νοτίδος ἀπολαύῃ τέγγοντος αὐτὸ καὶ ὑγραίνοντος, καὶ ξηραίνεσθαι αὐτὸ παντελῶς οὐκ ἐῶντος. τίς τῶν φιλοτίμων πώποτε, καὶ λίαν εὐπόρων, οἰκίαν δειμάμενος, οὕτως ὁλκῶν ὑδραγωγῶν προμηθεῖται, καὶ κρουνοῖς ἀφθονίαν ἐπινοεῖ, καὶ κρήνας, καὶ λειμῶνας εἰς τέρψιν παρασκευάζει, ὡς ὁ δημιουργὸς τῶν ὅλων τὴν λογικὴν οἰκίαν τεκτηνάμενος, τοσούτοις αὐτὴν καὶ τηλικούτοις περιεστοίχισεν ἀγγείοις χορηγοῦσι τὴν χρείαν; τίς δὲ οὕτως

Ministerio de Educación, Cultura y Deporte

ἀρχιτέκτων ὤν, ζεφύρου πνοαῖς κατὰ πνεῖσθαι τὰς οἰκίας μηχανώμενος, ὀρύττει τὰς εἰσόδους τοῦ πνεύματος, ὡς ὁ ἀριστοτέχνης θεός, καὶ τὸ καπνῶδες καὶ λιγνυῶδες ἐκ τοῦ σώματος ἐξιέναι πνεῦμα, καὶ τὸ καθαρὸν εἰσρεῖν καὶ διατρέχειν εἰς ἁπάσας τὰς ἀρτηρίας ἐμηχανήσατο; τίς δὲ φυτουργῶν οὕτως ὀχετηγεῖ τῶν ὑδάτων τὴν φύσιν, καὶ ταῖς ῥίζαις τῶν φυτῶν τὴν ἀρδείαν προσφέρει, ὡς ὁ τὸ ζῶον τοῦτο φυτεύσας, καὶ τὴν κτίσιν ἅπασαν δημιουργήσας, ἀῤῥήτως ἐπιφέρει διὰ τῶν φλεβῶν τὴν ἀρδείαν τοῖς τοῦ σώματος μέλεσιν; τῶν γὰρ ἀψύχων δένδρων, οὐδὲν κατὰ τὴν τροφὴν οἱ ἄνθρωποι διαφέρομεν, ὁμοίως γὰρ ἐκείνοις ταύτης ὑπάρχομεν ἐνδεεῖς. τό, τε γὰρ δένδρον μὴ τρεφόμενον, αὖον γίνεται καὶ ξηρὸν, καὶ ὁ ἄνθρωπος λιμῷ πιεζόμενος, ὡσαύτως πᾶν τὸ ὑγρὸν ἀποτίθεται, καὶ τῷ θανάτῳ παραπέμπεται. καθάπερ τοίνυν τὰ δένδρα, ἢ τὸν ἐκ νεφῶν ὑετὸν, ἢ τὰ ἐκ ποταμῶν, καὶ πηγῶν δεχόμενα νάματα, ἕλκει μὲν διὰ τῶν ῥιζῶν τὴν νοτίδα, τρέφει δὲ τοὺς κλάδους, καὶ τὸν φλοιὸν, καὶ τὴν ἐντεριώνην, τίκτει δὲ φύλλα, καὶ ἄνθος φύει, καὶ πεπαίνει καρπόν. οὕτω τόδε τὸ ζῶον, δέχεται μὲν ἐν τῷ στόματι τὴν τροφὴν, καὶ γίνεται τούτῳ πηγή, ὁλκὸν δὲ ὁ οἰσοφάγος



Ministerio de Educación, Cultura y Deporte

μιμεῖται, ὃν στόμαχον ὀνομάζειν εἰώθαμεν, ἡ δὲ γαστὴρ οἷόν τις ῥίζα ταύτην ἀποδεχομένη, καθάπερ τινὶ τῶν κλάδων ἀποβάθρᾳ παραπέμπει τῷ ἥπατι. τὸ δὲ, οὐκ ἀνέχεται μόνον τῆς χρείας ἀπολαύειν, ἀλλὰ πᾶσι τοῖς μορίοις τοῦ σώματος ταύτην διὰ τῶν φλεβῶν τὴν ἀρδείαν προσφέρει. οὕτω τὸ σῶμα τρεφόμενον, ἐν μὲν τοῖς βρέφεσιν αὔξεται, καὶ μηκύνεται, καὶ εὐρύνεται, καὶ πρόσφορον κατὰ βραχὺ προσλαμβάνει τὸν ὄγκον, ὅταν δὲ εἰς τὸ ὡρισμένον ἀφίκηται μέτρον, τηνικαῦτα τῆς μὲν αὔξης παύεται, τρέφεται δὲ μόνον. οὕτως ὁ τῶν ἁπάντων ποιητὴς τῆς ἡμετέρας φύσεως προμηθεῖται, καὶ οὐ διαπλάττει μόνον, ἀλλὰ καὶ διατρέφων διατελεῖ, καὶ οὐ διατρέφει μόνον, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν ἡμῶν κηδεμονίαν ποιεῖται. ἀλλὰ γὰρ ἀπορῶ, πῶς ὑμνήσω τὸν ποιητὴν, νικᾷ γοῦν τὴν διάνοιαν τῆς περὶ ἡμᾶς προνοίας ἡ ποικιλία, παραχωρεῖ πᾶς λόγος τῇ τῆς δημιουργίας σοφίᾳ, οὐδεὶς ἐξικνεῖται διαγνῶναι τὴν τῶν σωμάτων κατασκευήν. ἀπόχρη σοι καὶ τοῦτο μόνον εἰς ὑμνῳδίαν τοῦ κτίσαντος, οὐκ εἰς γῆν διακύπτεις τοῖς ἀλόγοις παραπλησίως, οὐδ' εἰς γαστέρα διανεύεις κατὰ τοὺς χοίρους. ἀνάβλεπε μόνον, καὶ βλέπε τὴν πρόνοιαν, ὁρ-

Ministerio de Educación, Cultura y Deporte

διό σε μόνον τῶν ζώων ἐδημιούργησεν, ἐπὶ δύο ποδῶν ὀχούμενον, καὶ τούτων δὲ ἕκαστον, οὐκ ἐξ ἑνὸς πεποίηκε κώλου, ἀλλ' ἐκ τριῶν συνέθηκε, καὶ εἰς τρεῖς ἁρμονίας διέδησε. καὶ τὴν μὲν, τῷ ἰσχίῳ συνήρμοσε. τὴν δὲ, τοῖς γόνασι συνέφυσε. τὴν ἑτέραν δὲ, τοῖς ἀστραγάλοις ἐπίστευσε. καὶ νεύροις ἰσχυροῖς τὰς ἁρμονίας συνέσφιγξε, καὶ μυσὶ τὰς ἑκουσίους κινήσεις ἐνέφυσε. καὶ οὔτε χαλαρὰ λίαν, οὔτε πάλιν κομιδῇ τεταμένα πεποίηκε τὰ δεσμά, τὰ μὲν γὰρ, παντάπασιν ἀφῄρει τὴν κίνησιν, τὰ δὲ, διαφεύγειν καὶ διολισθαίνειν ἀλλήλων ἐποίει τὰ ἄρθρα. διὰ ταύτην αὐτοῦ τὴν προμήθειαν, καὶ βαδίζεις καὶ τρέχεις ὅταν θέλῃς, καὶ στάσεως καὶ καθέδρας τὴν ἐξουσίαν ἔχεις. Ὅρα δὲ καὶ ἕτερον κηδεμονίας εἶδος. ἵνα γὰρ μὴ δυσχεραίνῃς ἐπὶ γυμνῶν τῶν ἄρθρων καθήμενος, ἀλλ' ἐπ' ἐδάφους καὶ λίθου τὴν καθέδραν ποιούμενος ἄλυπος διαμένῃς, οἷά τινα σοι στρωμνὴν αὐτοφυῆ τὸ τῶν γλουτῶν περιτέθεικε σῶμα, σὺ δὲ ὁμοίως ἀχαριστεῖς, οὐ γὰρ αἰσθάνῃ τῶν δωρεῶν, ἀλλὰ μέμηνας καὶ λυττᾷς κατὰ τῆς οὕτω προμηθουμένης εὐεργεσίας. καὶ ὁ μὲν κύων ἐπιγινώσκει τὸν τρέφοντα, καὶ παρόντι συνεδρεύει, καὶ ἀπόντα ποθεῖ, καὶ ἐπανιόντι δείκνυσι τὴν ἡδονὴν



Ministerio de Educación, Cultura y Deporte

χαλῶν τὰ ὦτα, καὶ τὴν κέρκον σείων, καὶ τὴν ὑποταγὴν σημαίνων, καὶ τὴν δουλείαν ὁμολογῶν, καὶ τὴν εὐεργεσίαν παραδηλῶν, καὶ ταῦτα ἅπαντα δουλεύων, καὶ λόγου παντὸς ἐστερημένος, τῷ δὲ χρόνῳ καὶ τῷ ἔθει καὶ συχναῖς εὐεργεσίαις ἀγνώστου καὶ γνωρίμου, καὶ φίλου καὶ ἐπιβούλου τὸ διάφορον μανθάνων. σὺ δὲ, λόγου μετέχων, καὶ νοῦν ἡγεμόνα λαβὼν, τῶν ὁρωμένων καὶ τῶν ὑποπτέρων ἁπάντων ὀξύτερον, ἥλιος μὲν γὰρ ἐν ἡμέρᾳ μιᾷ τῆς οἰκουμένης διατρέχει τὸ δίαυλον, ὁ δὲ, ἅμα τῷ νεῦσαι καὶ τὴν οἰκουμένην περινοστεῖ, καὶ εἰς οὐρανὸν ἀφικνεῖται τῇ φαντασίᾳ, καὶ τοῦτον ὑπερβαίνει, καὶ θεὸν ὡς δύναται κατοπτεύσεται, καὶ τῶν ἀγγέλων τὰς ἀπείρους θεωρεῖ μυριάδας, καὶ τῶν ἀρχαγγέλων τὰς χιλιάδας, πολυπραγμονεῖ τὰ ὑπὸ γῆν, ἐπέκεινα τούτων ὑπερβαίνειν φιλονεικεῖ μὲν, οὐ δύναται δὲ, ὅρον γὰρ ἔχει τῆς φαντασίας, ἃ μεμάθηκεν εἶναι. τοῦτον ἔχων ἡγεμόνα, καὶ κυβερνήτην καὶ ἡνίοχον, τῶν θείων δωρεῶν οὐκ αἰσθάνῃ. οὐ λογίζῃ τῶν εὐεργεσιῶν τὸ πλῆθος, ἀλλ' ἐπιμένεις ἀχαριστῶν. καὶ τοσούτων σοι διδασκάλων προκειμένων, μαθεῖν οὐκ ἐθέλεις τὰ τῆς προνοίας στοιχεῖα. ὅρα μήπως παντελῶς ἀτημέλητον καταλίπῃ, καὶ τῇ πείρᾳ μάθῃς προ-

Ministerio de Educación, Cultura y Deporte

νοίας, καὶ κηδεμονίας, καὶ ἐρημίας διαφοραί. Δεῦρο τοίνυν ὦ φιλότης, ἐφ᾽ ἕτερόν σε μεταγάγωμεν τοῦ σώματος μέρος. βλέπε δή μοι τὴν ῥάχιν, ἀπὸ μὲν τοῦ πλατέος ὀστοῦ τοῖς γλουτοῖς ἐπικειμένου τὴν ἀρχὴν ἔχουσαν, μέχρι δὲ τραχήλου διήκουσαν, καὶ κίονι παραπλησίως στεγανῷ, καὶ ἐκ σπονδύλων συγκειμένῳ τήν τε κοιλίαν φοροῦσαν, καὶ ὤμους, καὶ χεῖρας, καὶ αὐχένα, καὶ κεφαλήν. ἐπειδὴ γὰρ οὐδὲν ἔξωθεν ὀστοῦν ὁ ποιητὴς τῇ κοιλίᾳ περιτέθεικεν, ἵνα τὴν τροφὴν ἀποδεχομένη εὐρύνηται ῥᾳδίως, καὶ τὸν ἀρκοῦντα τοῖς σιτίοις ὄγκον ἐργάζηται, ὄπισθεν αὐτὴν ἡ ῥάχις ὑπερείδει. ἐκ πλειόνων δὲ αὐτὴν ὁ ποιητὴς ὀστῶν συνέθηκεν, ὅπως καὶ κάμπτηται ῥᾳδίως, κύπτειν τοῦ ζώου βουλομένου, καὶ τῇ κάμψει μὴ θρύπτηται. τρέφει δὲ ταύτην ὁ νωτιαῖος μυελός, πηγὴν τὸν ἐγκέφαλον ἔχων. Τί με* δεῖ λέγειν περὶ χειρῶν, ὧν τὴν χρείαν αἱ παντοδαπαὶ κηρύττουσι τέχναι; ἀλλ᾽ ἐκείνων τὴν μνήμην ἐν τῷ μετὰ ταῦτα ποιησώμεθα λόγῳ, οὐκοῦν καὶ τῆς τῶν χειρῶν χρείας τὴν ἐξήγησιν, ἐκείνῳ φυλάξωμεν. Ἀνάβηθι τοίνυν αὖθι τὸν τράχηλον, καὶ θεώρησον τὴν τούτου διάπλασιν, καὶ ἀναμνήσθητί μοι τῶν κιόνων τῶν κάτωθεν ἄνω διατετρημένων, καὶ

*μὲν

πολλὰς τοιαύτας διατρήσεις ἐχόντων, καὶ μίαν μέσην μεγίστην, δι᾽ ἧς οἱ τῶν ὑδάτων ὀχετοὶ πλεῖστον μὲν ἀνάγουσιν ὕδωρ, διανέμοντες δὲ τοῦτο, κατὰ πεῖναν διὰ τῶν ἄλλων παρακελεύονται, καὶ τὸ μὲν εἰς τὸ νότιον μέρος τῆς πόλεως παραπέμπουσι, τὸ δὲ εἰς τὸ ἑῷον, ἄλλο δὲ εἰς τὸ ἑσπέριον, ἕτερον δὲ εἰς τὸ βόρειον. ταύτην ὁ τράχηλος τὴν χρείαν παρέχει τῷ σώματι, μιμεῖται γὰρ, ὡς ἔφην ἤδη, τὴν φύσιν ἡ τέχνη, καὶ ἐξομοιοῖ τὰ οἰκεῖα μηχανήματα τοῖς ἐκείνης ποιήμασιν. ὁ τράχηλος τοιγαροῦν, ἔχει μὲν τοῦ στομάχου τὸ στόμα, παραπέμπει δὲ τῇ γαστρὶ τὰ σιτία καὶ ποτά, ἔχει δὲ τὴν τραχεῖαν ἀρτηρίαν ἀπὸ τοῦ πνεύμονος μέχρι τοῦ λάρυγγος ἀφικνουμένην, ἔχει δὲ καὶ τὰς φλέβας, καὶ τὰς λείας ἀρτηρίας, δι᾽ ὧν ὁ ἐγκέφαλος δέχεται μὲν αἷμα, καὶ πνεῦμα. τρεφόμενος δὲ καὶ αὐξόμενος διὰ τῶν συμπεφυκότων ὀστῶν, τὸν νωτιαῖον μυελὸν παραπέμπει τῇ ῥάχει, ἀφ᾽ οὗ τρέφεται μὲν ἅπασα τῶν ὀστῶν ἡ φύσις, ἀποφύεται δὲ νεῦρα τὰ ἰσχυρότατα, τά τε παχέα καὶ τὰ λεπτά, τά τε πλατέα καὶ τὰ στρογγύλα, δι᾽ ὧν τά τε ἄρθρα δεσμεῖται, καὶ οἱ μύες τὴν κινητικὴν ἐνέργειαν δέχονται. Ἐπειδὴ δὲ εἰς αὐτὴν ἀφικόμεθα τὴν κεφαλήν, βλέπε αὐτὴν ὥσπερ ἀκρόπολιν

Ministerio de Educación, Cultura y Deporte

τινα τῆς τοῦ σώματος πόλεως ἐν ὕψει καθη-
μένην, καὶ οἷον τινα πλοῦτον καὶ θησαυρὸν
ἐν ἰσχυροτάτῳ φρουρίῳ φυλάττουσαν τὸν ἐγ-
κέφαλον, τὸ γὰρ κρανίον οἷον ἔρκος καὶ κρά-
νος· ἐπώνυμον γὰρ τούτου τὸ κράνος πρὸς τὴν
τούτου μίμησιν κατεσκευασμένον, τῷ ἐγκε-
φάλῳ περικείμενον, τὴν ἔξωθεν ἐπερχομέ-
νην βλάβην, εἰς δύναμιν ἀπείργει· ἵνα δὲ μὴ
ὑπὸ τῶν ὀστῶν σκληρῶν ὄντων καὶ ἀντιτύ-
πων, μαλακὸς ὢν λίαν οὗτος, καὶ κομιδῇ
χαῦνος, λώβην τινὰ νυττόμενος δέξηται, δύο
αὐτῷ περιτέθεικε χιτῶνας, οὓς μήνιγγας
ἰατρῶν ὀνομάζουσι παῖδες· ἀλλὰ τὴν μὲν λε-
πτοτάτην καὶ χοροειδῆ καλουμένην, συνέ-
φυσεν αὐτῷ, καὶ λίαν αὐτῷ προσφυῆ πε-
ποίηκε, καὶ συνέχειν αὐτὸν δυναμένην, καὶ
πληκτικὴν οὐκ ἔχουσαν δύναμιν διὰ τὴν ἄ-
γαν λεπτότητα, τὴν δὲ ἑτέραν στεγανὴν μὲν
καὶ ἰσχυρὰν ἐποίησεν, ἐγκεφάλου δὲ αὐτὴν
καὶ κρανίου τὴν μέσην ἀπεκλήρωσε χώραν,
ἵνα μήτε λυπῇ τὸν ἐγκέφαλον σκληροτέραν
ἔχουσα τὴν οὐσίαν, μήτε ὑπὸ τῶν ὀστῶν λυ-
πῆται, μαλακωτέραν ἐκείνων ἔχουσα φύσιν.
Ὁ μὲν οὖν ἐγκέφαλος, οἷόν τις πλοῦτος ὡς ἔ-
φην ἐν τῇ κεφαλῇ καθάπερ ἐν ἀκροπόλει
φυλάττεται. ἐπειδὴ δὲ ἔδει τῷ φρουράρχῳ

Ministerio de Educación, Cultura y Deporte

νῶν καὶ κατασκόπων, τά, τε πολέμια καὶ τὰ φίλια προορώντων, δέδωκε καὶ τούτοις ὁ ποιητής, καὶ οὐχ ἑνὶ ταύτην τὴν περιωπὴν ἐνεχείρησεν, ἀλλὰ δύο φύλακας ἔστησε. καὶ τῷ μὲν, τὰ δεξιά. τῷ δὲ, τὰ εὐώνυμα καραδοκεῖν καὶ περισκοπεῖν ἐνομοθέτησεν. Ἐπειδὴ δὲ καὶ οὗτοι φυλάκων ἐδέοντο καὶ ἐπάλξεων καὶ προμαχώνων καὶ χαρακώματος, οὐδὲ τούτων ὁ τῆς πόλεως ταύτης ἠμέλησε ποιητής, ἀλλ᾽ ἐπέθηκε τοῖς ὀφθαλμοῖς, οἷς τὴν ὀπτικὴν ἐνεχείρισεν αἴσθησιν, οἷόν τινας ἐπάλξεις καὶ προμαχῶνας, τῶν ὀφρύων τὰς προβολάς, ὑφ᾽ ἃς κρυπτόμενοι περισκοπεῖν ἀσφαλῶς τὰ πόῤῥωθεν δύνανται. ταύταις δὲ ταῖς ἐπάλξεσιν, οἷόν τινας ὄροφον τῶν ἄνωθεν ἐπιπεμπομένων ὑετῶν, ἐνέφυσε τρίχας λεπτάς τινας, καὶ εὐθὺ τὰ ἔξω τοῦ προσώπου νενευκυίας, τὸν ἐκ τῶν μετώπων καταῤῥεόμενον ἱδρῶτα δεχομένας, ἀλλήλαις δὲ παραπεμπούσας, καὶ διὰ τῶν κροτάφων ἀποσταζούσας, καὶ τοὺς ὀφθαλμοὺς ταύτης ἐλευθερούσας τῆς λώβης. Ἐπειδὴ δὲ καὶ πανοπλίας οἱ φύλακες ἐδέοντο, περιτίθησι μὲν αὐτοῖς, τοὺς τῶν βλεφάρων χιτῶνας, καθάπερ δὲ δόρατα καὶ βέλη τὰς βλεφαρίδας συντίθησιν, οὐκέτι ὁμοίως ταῖς ὀφρύσι κεκλιμένας, ἵνα μὴ ἀντὶ προμάχων

Ministerio de Educación, Cultura y Deporte

ἐπίβουλοι γίνωνται. οὔτε μὴν κατ' εὐθεῖαν γραμμὴν τεταμένας, ἵνα μὴ ἀλλήλαις ἐν τῇ μύσει τῶν βλεφάρων προστρίβωνται, ἀλλ' ὠθεῖ τὸ ἔξω βραχύ τι νενευκυίας, ἵνα τῶν λεπτοτάτων σωμάτων ἀπωθοῖντο τὴν βλάβην. ἀνέμου γὰρ σφοδρότερον πνέοντος, καὶ κόνις οὐ λεπτὴ μόνη, ἀλλὰ καὶ παχυτέρα κινεῖται, καὶ κάρφη, καὶ ἕτερα τοιαῦτα, ἐπίασι δὲ καὶ κώνωπες, καὶ ὅσα τοιαῦτα ζωΰφια, καὶ τὰς βλεφαρίδας ὁρῶντα καθάπερ σκόλοπας, δραπετεύει. οὕτω καὶ τοὺς ἀστάχυας καθώπλισεν ὁ τῶν ἁπάντων δημιουργός, ταῖς γὰρ θήκαις τῶν πυρῶν ἐπιθεὶς τὸν ἀθέρα, οὐκ ἐᾷ τὰ σπερμολόγα τῶν ὀρνίθων σφόδρα λυμαίνεσθαι τῷ καρπῷ, ἀλλ' οἷόν τισιν αἰχμαῖς δοράτων δεδίττεται, καὶ δραπετεύειν ποιεῖ. ἀλλ' ἴσως ἂν εἴποις ἀχαριστίαν νοσῶν, τί τοίνυν μοι πλέον τῶν ἀσταχύων κεχάρισται; ἀλλὰ καὶ τὴν ἀσταχύων τὴν φύσιν ἐμβρόντητε διὰ τὴν σὴν χρείαν πεποίηκε. τί τοίνυν ἀχαριστεῖς, εἰ καὶ τὰ σὰ διὰ σὲ τοῖς ὅπλοις καθώπλισε; σὺ σπείρεις τὸν καρπὸν ἀχαριστότατε, αὐτὸς ἄρδει καὶ θερμαίνει καὶ τρέφει καὶ φρουρεῖ καὶ φυλάττει, καὶ πέπονα σοι προστίθησι. σὺ ἀμήσας, καὶ τῇ ἅλῳ προσαγαγὼν, καὶ τεμὼν τῇ τέχνῃ, ἐκ τῶν ἀχύρων ἀφο-

κείνας, καὶ μύλῃ λεπτύνας, καὶ τῆς πτύρων χωρίσας, καὶ ταῖς χερσὶ μάξας, καὶ κλιβάνῳ, ἢ ἰπνῷ παραδοὺς, ἐντρυφᾷς τοῖς ἄρτοις, καὶ τὸν χορηγὸν ἀγνοεῖς. Ἀλλ' ἐπὶ τὸν ὀφθαλμὸν ἐπανέλθωμεν, κατανόησον αὐτοῦ τὴν φύσιν, βλέπε πόσους ἔχει χιτῶνας, βλέπε τὴν ἔξωθεν εὐμορφίαν, βλέπε τὴν τῆς κόρης λεπτότητα, τὴν περικειμένην ἶριν, ἣν στεφάνην ὀνομάζομεν, τὸν κερατοειδῆ κύκλον, τὸν ῥαγοειδῆ χιτῶνα, τὴν κρυσταλλοειδῆ σφαῖραν τὴν ὑπὸ τούτῳ κειμένην, καὶ διὰ μέσου διακύπτουσαν, τὸ περὶ ταύτην διακεχυμένον *ὑμενοειδὲς ὑγρὸν, τὸ ἀμφιβληστροειδὲς περιβόλαιον, τὴν ἀδενώδη ἕδραν, ἐφ' ἧς ἅπας ἐρήρεισται, τὴν ἐκ τοῦ ἐγκεφάλου δι' ἀγγείου λεπτοτάτου χορηγουμένην τροφὴν, τὴν διὰ τῶν ἀκανθῶν τοῦ περιττώματος ἐκροήν. Σκόπησον εἰς πόσα τὸ αἷμα μετασχηματίζεται χρώματα. τοῦτο πρῶτον μὲν ἦν σιτίον, τοῖς ὀδοῦσι δὲ λεπτυνθὲν, τῇ γαστρὶ παρεπέμφθη. ἐκείνη πρὸς τὴν οἰκείαν χρόαν τοῦτο μετέβαλε, καὶ λευκὸν ἀπειργάσατο, τοῦτο τὸ ἧπαρ δεξάμενον, πάλιν εἰς τὸ οἰκεῖον μετατίθησι χρῶμα. οὕτω γινομένη τοῦ αἵματος ἡ φύσις, εἰς ἐγκέφαλον χωροῦσα, πάλιν λευκαίνεται, καὶ εἰς ὀστᾶ μεταπήγνυται, καὶ εἰς νεῦρα στεγανὰ μὲν, εὐκαμ-

*ἀλλοειδὲς

Ministerio de Educación, Cultura y Deporte

πῃ δὲ μετατίθεται. ἀλλὰ γὰρ ἴσως ὅμοιον ποιῶ, τοῖς τὴν ψάμμον ἀριθμεῖν πειρωμένοις, τὴν ἐν τῷ σώματι φαινομένην τοῦ ποιητοῦ περιμήθειαν ἐρευνῆσαι φιλονεικῶν. κατὰ σαυτὸν τοιγαροῦν πάσας τῇ θεωρίᾳ περινόστησον τὰς αἰσθήσεις, τὴν γεῦσιν, τὴν ὄσφρησιν, τὴν ἀκοὴν, ὅπως ἡ μὲν, τῶν ὀσμῶν τὴν ἀντίληψιν ἔχει, καὶ τὸ μὲν ἡδὺ προσίεται, τὸ δὲ δυσῶδες ἀπωθεῖται, καὶ τῶν τῆς κεφαλῆς περιττωμάτων τὰς ἐκκρίσεις πεπίστευται. ἐπειδὴ γὰρ τοὺς κάτωθεν ἅπαντας ἀναπεμπομένους ἀτμοὺς ὡς ὑπερκειμένη τοῦ σώματος ἀναδέχεται, ἡ δὲ τούτων πλημμύρα πολλὴν ἂν εἰργάσατο τῷ κυριωτάτῳ μορίῳ, φημὶ δὴ τῷ ἐγκεφάλῳ τὴν λώβην, οὐδὲ τούτου κατημέλησεν ὁ τῶν ὅλων ποιητὴς, ἀλλὰ πόρους τινὰς ἐν αὐτοῖς ἐργασάμενος, καὶ σπογγοειδεῖς καὶ σηραγγώδεις πεποιηκὼς, τὰ ὑγρὰ καὶ τὰ παχέα τῶν περιττωμάτων εἰς τὴν ὑπόρροιαν καὶ τοὺς μυκτῆρας ὡδήγησε, καὶ δύο τούτοις ἐκκρίσεων ἀπένειμε μόρια, ἵνα συντόμως τὸ βλαβερὸν ἐκφορῆται, τὸ δὲ ἀτμῶδες καὶ λιγνυῶδες περίττωμα ἄνωθεν διὰ τῶν τοῦ κρανίου ῥαφῶν διαφορεῖσθαι καὶ διεξωθεῖσθαι πεποίηκε. θεώρησον δὲ καὶ τῆς ἀκοῆς τὴν ἐνέργειαν, βλέπε πῶς μυρίας δεχομένη φωνὰς οὐ κορέννυται, οὐ πλη-

Ministerio de Educación, Cultura y Deporte

ροῦται, οὐκ ἴσως ἅπαντα δέχεται, ἀλλ᾽ οἶδεν ὀξείας καὶ βαρείας φωνῆς τὸ διάφορον, εὐφωνίᾳ τέρπεται, καὶ κακοφωνίαν ἀποστρέφεται. διὰ ταύτης τῶν θείων ἐπαΐομεν λόγων, διὰ ταύτης πᾶσαν ἐπιστήμην ἀνθρωπείαν ἡ φύσις παιδεύεται, γραμματικὴν, ῥητορικὴν, σοφιστικὴν, ἀριθμητικὴν, ἰατρικὴν, μηχανικὴν, καὶ εἴ τινα ἑτέραν τῶν ἀνθρώπων ἡ φύσις ἐξεῦρε. ταύτην ἀπόδος τοῖς ἡμετέροις λόγοις τὴν ἀκοὴν, δέξαι φάρμακον τὴν ψυχὴν καθαῖρον διὰ ταύτης, καὶ τῆς πονηρᾶς αὐτὴν βλασφημίας ἐλευθεροῦν. ἐπίθες ταύτῃ πύλας, τὸν λόγον. καὶ πυλωρὸν, τὸν τοῦ θεοῦ φόβον. καὶ τῶν προσφερομένων σοι λόγων γίνου κριτής, καὶ τοῖς μὲν εὐσεβέσιν, ὁ πυλωρὸς ἀνοιγέτω τὰς πύλας. τοὺς δὲ βλασφήμους καὶ βδελυροὺς καὶ θεομίσεις, ἀποπεμπέτω, καὶ τὰς πύλας κλειέτω, καὶ οἷόν τι μοχλὸν ἀρραγῆ, τὸ στερρὸν ἐπιτιθέτω τῆς πίστεως. οὕτω γὰρ δυνατὸν τῶν τε πολεμίων ἀπαλλάττεσθαι, καὶ τοὺς φίλους καὶ εὐεργέτας τῶν λόγων δεχομένους, τὰς ψυχὰς ὑγιαίνειν, οὐ κνηθομένους κατὰ τὸν θεῖον Παῦλον τὴν ἀκοήν. οὐ δὲ τοῖς τερπνοῖς μὲν, βλάπτουσι δὲ τὸ λογικὸν λόγοις ταύτην ἀποτιθέντας, ἀλλὰ κριτὰς ὀρθοὺς καὶ δικαίους τῶν λεγομένων καὶ γινομένων γιγνομένους.

β΄ πρὸς Τιμ. δ΄.

Ministerio de Educación, Cultura y Deporte

γιγνομένοις· καὶ τοῖς ὄνησιν φέροντας ἐκλεγομένοις, καὶ τὸν θεὸν κατὰ τὸν προφήτην διὰ παντὸς προορωμένοις, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ βαδίζοντας καὶ καθημένοις, καὶ πᾶν ὁτιοῦν ἢ δρῶντας ἢ πάσχοντας, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν:~

## ἈΠΟΔΕΊΞΕΙΣ ἈΠῸ ΤΩ͂Ν ΧΕΙρῶν τῶν ἀνθρωπείων, καὶ τῶν ἐφευρεθεισῶν τεχνῶν, Λόγος Δ'.

Ἤκουσα τῆς προφητικῆς φωνῆς,
» ᾀδούσης καὶ βοώσης· οἱ οὐρανοὶ Ψαλ. ιη.
» διηγοῦνται δόξαν θεοῦ, ποίη-
» σιν δὲ χειρῶν αὐτοῦ, ἀναγγέλλει
» τὸ στερέωμα. ἀλλὰ φωνῆς μὲν ἐκεῖθεν φερομένης, ἣν ποιεῖ πνεῦμα διὰ τῆς ἀρτηρίας ὠθούμενον ἐπὶ τὸ στόμα, καὶ λόγος γλῶτταν ἐναρμονίως τοῖς ὀδοῦσι προσφέρων, καὶ χείλη πτυσσόμενα, καὶ ἀὴρ πληττόμενος, καὶ τὴν ἀντιτυπίαν ἐργαζόμενος, οὐδεὶς τῶν καθ' ἡμᾶς ἀκήκοε πώποτε ἀνθρώπων. φαινόμενος δὲ, καὶ τό, τε μέγεθος τό, τε κάλλος ὑποδεικνύς, καὶ τῆς ὀροφῆς τοῖς ἀνθρώποις παρέχων τὴν χρείαν, σιωπῶν κηρύττει τὸν ποιητὴν, καὶ τὰς ἁπάντων γλώττας εἰς ὕμνον

δίαν κινεῖ. καὶ καθάπερ οἰκίαν ὁρῶντες τε-
χνικῶς μάλα γεγενημένην, καὶ τὰς στεῤῥὰς κρη-
πῖδας ἐρηρεισμένην, καὶ ταῖς εὐθείαις συνηρ-
μοσμένην, εὖρός τε καὶ μῆκος ἔχουσαν, καὶ
ὕψος τὴν πρὸς ταῦτα διασῷζον ἀναλογίαν,
καὶ φωταγωγοῖς ἐν ῥυθμῷ καὶ τάξει γεγενη-
μένοις, καὶ τἆλλα ὅσα τὰς τοιαύτας οἰκίας
λαμπρύνειν φιλεῖ, εὐθὺς τὸν τεχνίτην θαυ-
μάζομεν, καὶ τὸν οὐ παρόντα ζωγραφοῦμεν
τῇ διανοίᾳ, καὶ εἰς τὴν ἐκείνου τέχνην πᾶσαν
ἐκείνης τῆς εὐπρεπείας ἀναφέρομεν τὴν εὐ-
*εὐφη- *μορφίαν. οὕτως οὐρανὸν ὁρῶντες, καὶ τῶν κα-
μίαν τ' οὐρανὸν φωστήρων τὴν χρειώδη χορείαν, οὐ
ταῦτα προσκυνοῦμεν, ἀλλὰ τὸν τούτων ποιη-
τὴν ταῖς δυναταῖς ὑμνῳδίαις γεραίρομεν,
καὶ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀνα-
λόγως τὸν γενεσιουργὸν θεωροῦμεν. λογιζόμε-
θα γὰρ ὀρθῶς καὶ δικαίως, εἰ τηλικοῦτον τῶν
ποιημάτων τὸ μέγεθος, πηλίκος ὁ ποιητής; καὶ
εἰ τοιαύτη τῶν γεννητῶν ἡ ὥρα, οἷον τοῦ ἀριστο-
τέχνου καὶ ποιητοῦ τῶν ὅλων τὸ κάλλος; οὕ-
Ψαλ. ιη' » τως οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν
» δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. οὕ-
» τως ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ
» νυκτὶ ἀναγγέλλει γνῶσιν, οὐ φωνὴν ἀφιεῖ-
σαι, οὐδὲ διὰ γλώττης φθεγγόμεναι, ἀλλὰ διη-

Ministerio de Educación, Cultura y Deporte

νεκῶς ἀλλήλαις διαδεχόμεναι, καὶ πρὸς τὴν
τῶν ἀνθρώπων χρείαν ὑπ' ἀλλήλων πλεονε-
κτούμεναι. καὶ τοῦτον πως ἐκβοῶσιν, ὥς
ἁπάντων ἀνθρώπων τὸ γένος τῆς τούτων ἐ-
» παΐειν φωνῆς. οὐκ εἰσὶ γάρ φησι λαλιαί, οὐδὲ Ψαλ. ιη
» λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν, ἅπαν
γὰρ ἔθνος, καὶ ἅπασα γλῶσσα τῶν τῆς ἡμέ-
ρας καὶ νυκτὸς κηρυγμάτων ἀκούει. αἱ μὲν
γὰρ γλῶτται, τὸ διάφορον ἔχουσι, μία δὲ φύσις
τὴν αὐτὴν παρὰ τούτων τρέπεται χρείαν. οὕ-
τω πάλιν ὁ ταῦτα εἰρηκὼς, ἐν ἑτέρῳ ψαλμῷ
» τὸν δημιουργὸν ἀνυμνῶν, ἔλεγεν. ἐθαυμαστώ- Ψαλ.
» θη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ ρλη
» δύνωμαι πρὸς αὐτήν. εἰς ἐμαυτὸν γάρ φησι
στραφεὶς, καὶ ἐν ἐμαυτῷ γενόμενος, καὶ τῶν ἔξω-
θεν ἁπάντων θορύβων ἀπαλλαγεὶς, ἐν θεω-
ρίᾳ τῆς ἐμαυτοῦ γενέσθαι φύσεως ἠβουλήθην,
καὶ τὴν λογικὴν τῆς ψυχῆς ἀκριβῶς δύνα-
μιν κατιδεῖν, τὰς ἐπιστήμας, ὧν ἐστι δεκτι-
κὴ, τὰς τέχνας, ὧν τὸν βίον ἐνέπλησε, δι' ὧν
ἡδίονα καὶ θυμηρέστερον βιοτεύει. ὧν ὠδίνει λό-
γων τὸ πλῆθος. ὧν δέχεται τὴν ἀμετρίαν.
πῶς ἀποτίθεται ταῦτα, καὶ διακεκριμμέ-
νως φυλάττει. πῶς προσφέρει ῥᾳδίως τῶν ἀπο-
κειμένων ὃ βούλεται. πῶς ἰθύνει τὸ σῶμα. καὶ
ὀφθαλμοῖς μὲν, ὄγκων καὶ χρωμάτων ἐγχειρίζει

διάκεισιν· γλώττῃ δὲ χυμοὺς διακρίνειν ἐπίστευσε,
καὶ διάκονον τῶν οἰκείων ὠδίνων ἐχειροτόνη-
σεν· ὀσμῶν δὲ κριτήριον ἀπέφηνε τὰς ῥῖνας·
καὶ λόγοις ἔξωθεν φερομένοις, τὰς ἀκοὰς ἀ-
νεπέτασε. τῷ δὲ λοιπῷ σώματι τὴν ἁπτικὴν
ἐνεχείρισε δύναμιν. καὶ παρέχει μὲν τούτοις
τὴν αἰσθητικὴν ἐνέργειαν, ἀντιλαμβάνει δὲ
παρὰ τούτων καὶ λύπην καὶ εὐφροσύνην. ταῦ-
τα καὶ ὅσα τοιαῦτα φησὶ λογιζόμενος, καὶ ὁ-
ρῶν τὴν τῶν ἐναντίων τούτων συνδρομὴν εἰς
ἑνὸς ζώου κατασκευήν, καὶ τοῦ θνητοῦ καὶ ἀθα-
*συζυγίαν νάτου *συμφυΐαν, νικῶμαι τῷ θαύματι, καὶ „
τῆς θεωρίας οὐκ ἐφικνούμενος, τὴν ἧτταν ὁ- „
μολογῶ. καὶ τῆς τοῦ δημιουργοῦ σοφίας ἀνα- „
κηρύττων τὴν νίκην, καὶ σὺν ποιητῇ ἀνυμνῶν,
Ψαλ. ρλη'„ βοῶ· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐ-
„ κραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. καὶ
ταῦτα ἡμῖν ἀντὶ τοῦ παρόντος ἁρμόττει τὰ
ῥήματα, τὴν φαινομένην ἐν τοῖς τοῦ ἀνθρω-
πείου σώματος μορίοις σοφίαν, κατιδεῖν ἐθελή-
σασι μὲν, τῇ δὲ πείρᾳ τὴν ἀσθένειαν διδαχθεῖ-
σιν. οὐ μικρὰν δὲ ὅμως ἐκ τῆς ἀμυδρᾶς κεκερ-
δήκαμεν θεωρίας. ἐθεασάμεθα γὰρ καὶ ἐν τῷ
βραχυτάτῳ μορίῳ τοῦ σώματος τὴν τοῦ θεοῦ
διαλάμπουσαν προμήθειαν. τί γὰρ τριχῶν εὐ-
τελέστερον; τί δὲ οὕτως ἐν τοῖς τοῦ σώματος μο

ἑτέροις αἰσθήσεως ἄμοιρον; ἀλλ' ὅμως καὶ τούτων
τὴν χρείαν ἀναγκαίαν ἔδειξεν ὁ λόγος. καὶ μαρ-
τυροῦσιν ὀφρύες καὶ βλεφαρίδες. μαρτυ-
ροῦσι δὲ καὶ αἱ τὴν κεφαλὴν κοσμοῦσαι τε ὁ-
μοῦ καὶ καλύπτουσαι, καὶ γὰρ καὶ τούτων
τὴν χρείαν οἱ τούτων ἐψιλωμένοι διδάσκουσι.
πρῶτον μὲν γὰρ ἐρυθριῶσιν ὡς κάλλους ἐστερη-
μένοι, ἔπειτα δὲ καὶ ἕτερα ἄττα ἐπινοοῦσι
καλύμματα, τὴν ἐκείνων χρείαν ἀποπλη-* ροῦντες
*ροῦντα. καὶ ὡς ἔοικε τούτου χάριν καὶ γυ-
μνωθῆναι τούτων ἐνίας κεφαλὰς ὁ δημιουρ-
γὸς συνεχώρησεν, ἵνα μάθωμεν ὅπως καὶ τού-
των προμηθούμενος ὁ ποιητὴς, οὕτω τὸ ζῶον
διέπλασεν. οὕτω γοῦν εἰς ἄνδρας λοιπὸν τε-
λοῦντας, καὶ τὴν μειρακιώδη ὑπερβαίνον-
τας ἡλικίαν τῷ γενείῳ κατακοσμεῖ, καὶ μοίρᾳ
τινὰ τῶν προσώπων σὺν τῷ ἀνθερεῶνι. πρότερον
μὲν γὰρ ἴουλος ἀνθεῖ, μετὰ δὲ ταῦτα *κόμη* τρίχωσις
μετρία καλύπτει, ἵνα τῇ προσθήκῃ διδάξῃ τῶν
ἡλικιῶν τὸ διάφορον, καὶ πείσῃ διὰ τοῦ σχήμα-
τος, τῶν παιδικῶν μὲν ἀθυρμάτων ἀπέχε-
σθαι, τὰ δὲ σπουδαῖα τῶν ἔργων προσίεσθαι.
ἐπειδὴ δὲ γυναιξὶν αἱ ὠδῖνες εἰς τοιαύτην δι-
δασκαλίαν ἀρκοῦσι, μόνων οὕτω τὰς τῶν ἀν-
δρῶν παρειὰς ἐστεφάνωσεν. εἰ δέ τις μόνον ἀντι-
λέγειν τῇ ἀληθείᾳ δεδιδαγμένος, τὰς ἐν ἄλ-



Ministerio de Educación, Cultura y Deporte

λοις μορίοις τοῦ σώματος τὰς τριχῶν ἐκφύσεις
προβάλλοιτο, μανθανέτω καὶ περὶ τούτων
μάτην ἀχαριστῶν, αὐτοφυῆ γὰρ ἡ φύσις πε-
ριτέθεικε καλύμματα, οἷς τὰ χειροποίητα
περιτιθέναι σπουδάζομεν. διὰ τοῦτο οἷς μὲν τὸ
λοιπὸν οὐδέπω διακρίνειν ἀρετὴν καὶ κακίαν
ἐπίσταται, οὐ περιτέθεικεν ἡ φύσις τὸ ἐκ τρι-
χῶν περιβόλαιον, τοὺς δὲ ἤδη τῆς γνώσεως ἀρ-
ξαμένους, καὶ τὴν τῶν μελῶν ἑκάστου τὴν χρείαν
δεδιδαγμένους, εὖ μάλα καὶ λίαν καλῶς τού-
τῳ τῷ διαζώματι κατεκόσμησεν, ὥσπερ ἐρυ-
θριῶντας ἐφ' οἷς οὐκ ἔδει, καλύπτουσα. ταύ-
την γὰρ οὐκ εἶχεν ἐν τῷ παραδείσῳ τὴν αἰσχύ-
» νην ὁ γενάρχης Ἀδάμ, ἦσαν γάρ φησιν,
Γεν. β' » Οἱ δύο γυμνοί, ὅ,τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ,
» καὶ οὐκ ᾐσχύνοντο. μετὰ δὲ τὴν τοῦ νόμου πα-
ράβασιν εἰς αἴσθησιν ἐλθόντες τῶν ἐπταισμέ-
νων, καὶ τῆς θείας φωνῆς ἀκούσαντες, ἔῤῥα-
Γεν. γ' » ψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς πε-
» ριζώματα. ἄθρει τοιγαροῦν ὦ περὶ τῆς δη-
μιουργίας ὁμοῦ καὶ τῆς προνοίας κατήγο-
ρε, καὶ ἐν τούτοις τοῖς μέλεσι τὴν τοῦ ποιητοῦ
κηδεμονίαν. περὶ ὧν σὺ μὲν καὶ ἀκούων ἐρυ-
θριᾷς, ὁ δὲ δημιουργὸς καὶ διαπλάττων ἀγάλ-
Γεν. α' " λεται. ἴδεν γάρ φησιν ὁ θεὸς πάντα ὅσα
» ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν, καὶ ποιήσωμεν

Ministerio de Educación, Cultura y Deporte

αὐτῷ βοηθὸν κατ' αὐτὸν, καὶ πρώτη δὲ λοιπὰ
„ θεοῦ, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πλη Γεν. α'
„ ρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.
ἐπειδὴ δὲ ὁ λόγος εἰς τὰ δοκοῦντα μέλη τοῦ σώ
ματος κατὰ τὸν θεῖον Παῦλον ἀτιμότερα α. κορ. ιβ'.
ὑπάρχειν, οὐκ οἶδ' ὅπως ἐξελθεῖν ἐβιάσθη,
βλέπε πάλιν τὴν ἄρρητον τοῦ ποιητοῦ φιλαν
θρωπίαν. τὸ μὲν γὰρ στόμα, καὶ λόγῳ διακο
νεῖν, καὶ τροφὴν ἀποδέχεσθαι, καὶ παραπέμ
πειν τῇ γαστρὶ πεπιστευμένον, πλησίον ἔθηκε
τῶν ὀμμάτων. τὸν δὲ τῶν ἐκκρίσεων πόρον,
ἀποκναίειν τὰς ὄψεις δυνάμενον, καὶ τροφῆς
ἀποτρέπειν, καὶ βδελυγμίας ἀναπιμπλᾶν
ναι, οὐ μόνον πόρρωθεν τούτων πεποίηκεν,
ἀλλὰ καὶ παντελῶς ἀφανῆ τούτοις κατέστη
σεν, εἰς τοὐπίσω τὸ ἀπευθυσμένον ἔντερον
ἀποκλίνας. μεταξὺ δὲ τῶν γλουτῶν, τὸν πό
ρον ἀνοίξας, καὶ τῇ τούτων προσβολῇ πάλιν
αὐτοφυὲς αὐτῷ μηχανησάμενος κάλυμμα.
αἰσχύνθητι τοιγαροῦν τῆς θείας φιλανθρω
πίας τὴν ἡμετέραν, φρῖξον αὐτῆς τὴν ἄρρη
τον κηδεμονίαν, ὁρῶν αὐτὴν δημιουργοῦσαν,
ἃ σὺ λέγειν αἰσχύνῃ, ὁρῶν αὐτὴν προμηθου
μένην, ὧν καὶ τὴν μνήμην ἐρυθριᾷς. ἐπειδὴ
γὰρ θνητόν ἐστι τὸ ὁρώμενον τοῦ ζώου, καὶ τροφῆς
ἅτε δὴ θνητὸν ἐνδεὲς, ἀναγκαίως αὐτῷ, καὶ



Ministerio de Educación, Cultura y Deporte

στόμα ἐνέφυσε, καὶ πόρους ἐκκρίσεων, καὶ κύ-
κλους ἐντέρων πολυελίκτους ἐδημιούργησε,
τὸ ἰλυῶδες τῆς τροφῆς ἀποδεχομένων, καὶ
οὐκ εὐθὺς προϊεμένων, ὅπως μὴ συνεχῶς ἡ-
μῖν ἡ χρεία τῆς σιτίων προσοχῆς ᾖ, τῆς κενώ-
σεως ἀεὶ τὴν πλήρωσιν ἀπαιτούσης. καὶ τί δεῖ
πάντα καταλέγειν τὰ τῆς φύσεως θαύμα-
τα. καιρὸς γὰρ ἤδη λοιπὸν ἐπὶ τὰς χεῖρας
ἐλθεῖν, ὧν τὴν μνήμην τῇ προτεραίᾳ παρα-
λιπόντες, ὑπεσχόμεθα σήμερον τούτων ἑρμη-
νεῦσαι τὴν χρείαν. βλέπε τοίνυν αὐτὰς, οὔ-
τε πέρα τῆς χρείας ἐκτεταμένας, ἵνα μὴ φορ-
τίον περιττὸν τῷ λοιπῷ γένωνται σώματι,
οὔτε αὖ πάλιν ἐνδεέστερον ἢ ἔδει τὸ μέτρον ἐ-
χούσας, ἀλλὰ τοῖς ἔργοις ὧν χάριν ἐγένοντο
ἀναλογοῦν δεξαμένας τὸ μέτρον. τούτου χά-
ριν αὐτὰς καὶ τριχῆ διεῖλεν ὁ πλάστης, καὶ
τὴν μὲν πρώτην ἁρμονίαν τοῖς ὤμοις ἐντέθει-
κεν, ἀγκῶνι δὲ βραχίονα καὶ πῆχυν συνήρ-
μοσε, τῷ δὲ καρπῷ τὴν ἑτέραν τοῦ πήχεος συ-
ναρθρώσας ἀρχὴν, καὶ τούτῳ τὸ μετακάρπιον
ἐπιθεὶς, τοὺς πέντε τούτῳ δακτύλους ἐνέφυ-
σε. καὶ ἕκαστον δὲ τούτων ἐκ τριῶν σκυταλί-
δων συνέθηκε. καὶ τῶν μὲν, τὰς ἀρχὰς κοιλά-
νας, τῶν δὲ σφαιροειδεῖς τεκτηνάμενος, καὶ
τῷ κοίλῳ τὸ σφαιροειδὲς ἐμβαλὼν, νεύροις τε

Ministerio de Educación, Cultura y Deporte

ἐνέδησε στεγανοῖς, καὶ μυσὶ τὴν ἑκούσιον κίνησιν ἐγχειρίσας, μαλακῷ ἠμφίεσε δέρματι, ἵνα συναπτομένοις ἐμποδὼν ἡ σκληρότης μὴ γίγνηται. καὶ τὰ ἄκρα δὲ τῶν δακτύλων ἔνδοθεν χαῦνα δημιουργήσας, ἔξωθεν τῆς ἀσφαλείας ἐφρόντισεν, ὄνυχας γὰρ αὐτοῖς λεπτοὺς καὶ πλατεῖς ἐπέθηκε, περιφερεῖς ἔξωθεν τὰς περιβολὰς ἔχοντας. καὶ λεπτοὺς μὲν πεποίηκεν, ἵνα μὴ τὴν μαλακὴν τῶν ἄκρων βαροῦσι σάρκα, περιττὸν φορτίον γενόμενοι, πλατεῖς δὲ, ὅπως ἐν ταῖς ἐπιπόνοις ἐργασίαις ἀντέχωσιν, ἔξωθεν τὸ χαῦνον τῆς ἔξω κειμένης σαρκὸς ὑπερείδοντες. περιφερεῖς δὲ τούτων τὰς περιβολὰς ἐπετεχνήσατο, τὸ δυσπαθὲς αὐτοῖς διὰ τοῦδε τοῦ σχήματος μηχανώμενος, εὔθραυστοι γὰρ τῶν τριγώνων καὶ τετραγώνων σχημάτων ἐν τοῖς λεπτοῖς σώμασιν αἱ γωνίαι. λέουσι μὲν γὰρ καὶ ἄρκτοις καὶ παρδάλεσι, καὶ τοῖς ἄλλοις θηρίοις, ὀξεῖς καὶ παχεῖς καὶ μακροὺς καὶ μάλα ἰσχυροὺς ἐνέφυσεν ὁ ποιητὴς ὄνυχας, καὶ φυσικὴν αὐτοῖς περιτέθεικε πανοπλίαν, ἐπειδὴ τῆς τεχνικῆς αὐτοὺς μεταλαχεῖν βοηθείας, ἡ ἀλογία κωλύει. τὸν δὲ ἄνθρωπον λογικὸν δημιουργήσας, καὶ νοῦν αὐτῷ μυρίων ἐπιστημῶν καὶ τεχνῶν εὑρετὴν ἐμφύσας, γυμνὸν τῆς φυσικῆς πανοπλίας ἐδημιούργησε. καὶ οὔπω ὄνυ

Ministerio de Educación, Cultura y Deporte

χας αὐτῷ θηριώδεις ἔδωκεν; οὐ ταῖς ὁπλαῖς ἢ χηλαῖς τοὺς τούτου πόδας ἐκάλυψε. πῶς γὰρ ἂν ἐπέβη κλιμάκων; πῶς δ' ἂν ἐπὶ *τείχων ἔστη λεπτῶν, λίθοις ἢ πλίνθοις ὑφαινομένων, καὶ οἰκίαν κατασκευάζων; πῶς δ' ἂν ἐπ' ἀκρῶν ἔστη δωμάτων ὁπλαῖς ἢ χηλαῖς κεχρημένος; νῦν δὲ τὸ μαλακὸν καὶ πρόμηκες τῶν ποδῶν, καὶ τῶν δακτύλων τὸ εὐκαμπές, ῥᾳδίαν αὐτῷ τὴν κίνησιν, καὶ ἀσφαλῆ τὴν στάσιν ποιεῖ. καὶ γυμνοῖς μὲν τοῖς ποσὶ κεχρημένος, εὐπετῶς μάλα καὶ ἐπὶ ξύλῳ βαδίζει, καὶ λεπτῶν κλιμάκων κατατολμᾷ, καὶ μυρία ἄλλα δρᾷ μετὰ πολλῆς εὐκολίας. τὴν δὲ τῶν ὁπλῶν ἢ τῶν χηλῶν χρείαν, ἐπείσακτον ἔχει. ἐκ γὰρ τῶν ὑπηκόων θρεμμάτων δέρμα λαβών, βυρσοδεψικῇ καὶ σκυτοτομικῇ τέχνῃ χρησάμενος συνεργῷ, μιμεῖται τῶν ποδῶν καὶ θέσιν καὶ ὄγκον, μῆκός τε καὶ εὖρος, καὶ οὕτως αὐτοὺς ἀμφιεννύουσιν, ὡς ἂν καὶ τῶν ἀντιτύπων σωμάτων ἐν τῷ βαδίζειν, τὴν βλάβην ἀπείργωσι, καὶ τῶν κρυμῶν ἀμβλύνωσι τὴν ἀκμήν. τούτου χάριν ὁ ποιητὴς μόνῳ τῷδε τῷ ζώῳ τὰ τῶν χειρῶν ἐχαρίσατο μόρια, οἷον ὄργανά τινα λογικῷ πρέποντα. διὰ τούτων γὰρ οἱ ἄνθρωποι, καὶ γῆν ἀροῦσι, καὶ αὔλακα τέμνουσι, καὶ σπέρματα καταβάλλουσι, καὶ σκαπάνην ἢ

*λίθων

δίκελλαν μὲν χειριζόμενοι βόθροις ὀρύττουσι, καὶ δένδρα φυτεύουσι, καὶ δρέπανα θήγοντες, νῦν μὲν τὰς ἀμπέλους πρὸς ὠδῖνας ἐπειγομένας ὁρῶντες τέμνουσι, καὶ τῶν περιττῶν ἀπαλλάττουσι. νῦν δὲ τὰ λήια κείρουσι, καὶ δρέπονται τῶν πόνων τὰ ἐπίχειρα χερσὶ χρώμενοι, καὶ ἀμαλλοδετῆρσιν δεσμοῦσι, καὶ εἰς τὰς ἅλως τὰ φορτία κομίζουσι, καὶ τῶν ἀχύρων τοὺς πυροὺς ἀποκρίνουσι. καὶ τοὺς μὲν, ταῖς ἀχυρμιαῖς παραπέμπουσι, τοὺς δὲ, τοῖς δοχείοις ἐναποτίθενται, χερσὶ χρώμενοι σιδηροῖς. καὶ ἄμπελον φυτῶσι, καὶ ἐλαίαν συλλέγουσι, καὶ οἶνον ἀποθλίβουσι, καὶ λαχάνων γένη παντοδαπὰ γεωργοῦσι, καὶ ὀπωρῶν εἴδη μυρία ταῖς φιλοτεχνίαις ἐπινοοῦντες, δρέπονταί τε καὶ προσφέρουσι τοῖς ἀπολαύειν ἐθέλουσι. διὰ χειρῶν ὁ ἀνθρώπειος νοῦς οὐ μόνον τὴν ἤπειρον εὐανθέσι λειμῶσι, καὶ κυμαίνουσι ληΐοις, καὶ ἀμφιλαφέσιν ἄλσεσι καλλωπίζει, ἀλλὰ καὶ τὴν θάλασσαν πολλαῖς ὁδοῖς κατεκόσμησε, καὶ τὴν πᾶσιν ἄβατον τοῖς φύσιν λαχοῦσι πεζὴν, πολλοὺς ἔχειν ὁδίτας ἐμηχανήσατο. τῇ γὰρ θεοσδότῳ σοφίᾳ τὴν ναυπηγικὴν εὑράμενος τέχνην, παρὰ τῆς χαλκευτικῆς, ἣν πρὸ ταύτης ἐμηχανήσατο, πέλεκυν λαβὼν, πρίονά τε, καὶ σκέπαρνον, καὶ ὅσα

Ministerio de Educación, Cultura y Deporte

τεκτονικῆς ὄργανα, καὶ πρὸς τὴν πρεσβυτέρας αὐτῆς ἀδελφῆς τῆς γεωργίας τῶν ξύλων τὰ ἄκαρπα τοῖς ὀργάνοις ἐκείνοις τεμὼν, καὶ τὴν μὲν τρόπιν οἷόν τινα θεμέλιον καταθεὶς, εἶτα ἐπὶ ταύτης καθάπερ τινὰς τοίχους τὰς σανίδας ὑφήνας, καὶ τοῖς γόμφοις ἄριστα συναρμόσας, τῇ δὲ τῆς πίσσης ἀλοιφῇ καταχρίσας, καὶ τούτῳ τῷ τρόπῳ τοῖς ὕδασι τὴν εἰσροὴν ἀποτειχίσας, ὄχημα θαλάττιον τὸ σκάφος ἀπέφηνε. Ἐπειδὴ δὲ ἔδει καὶ ἵππων καὶ ἡμιόνων τῷδε τῷ ζεύγει, φέρειν δὲ τούτοις οὐκ ἴσχυεν ἡ ῥοώδης οὐσία, μηχανᾶται καὶ τοῦτο σοφῶς, ταῖς χερσὶ πάλιν χρησάμενος λειτουργοῖς ὁ τοῦ πλοίου κυβερνήτης, ἀντὶ ῥυμοῦ γὰρ τὸν ἱστὸν ἀνορθώσας, καὶ τὰ ἱστία ζυγοῦ δίκην αὐτῷ συνάψας, ταῖς τῶν ἀνέμων αὔραις προσβαλλούσαις, ἀντὶ ἵππων καὶ ἡμιόνων κέχρηται, καὶ ταύτας ὥσπερ τινὰς πώλους ὑπάγει ταῖς ζεύγλαις. Ἐπειδὴ δὲ ἔδει καὶ ἡνίας ἔχειν τὸ σκάφος, τὰ πηδάλια ταύτας μιμεῖται, καὶ τῶν οἰάκων ἐπειλημμένος ὁ κυβερνήτης, οἷά τις ἡνίοχος καθάπερ ἵππων ἅρματος τὴν πρύμνην ἔχων, μεταφέρει ῥᾳδίως τῇδε κἀκεῖσε τὸ σκάφος. καὶ οὐ μόνον οὐρίου πνεύματος ῥέοντος οἶδεν ἐπιστημόνως ἰθύνειν, ἀλλὰ καὶ τὰς τῶν ἀνέμων ἀτάκτους

Ministerio de Educación, Cultura y Deporte

προσβολαῖς διαλύειν, καὶ οἷόν τινας πώλους ἀδαμάστους καὶ δυσηνίους ἀνέχειν τῷ χαλινῷ, καὶ ταῦτα ὁ ἀνθρώπειος νοῦς μηχανᾶται, χερσὶ διακόνοις χρώμενος. διὰ τούτων καὶ ναύτης ἐρέττει, καὶ κυβερνήτης ἰθύνει, καὶ ἔμπορος ὃν ἐπρίατο ἀνατίθεται φόρτον, καὶ πᾶς ἁλιεὺς τὴν ἀγρεύει, καὶ τὴν μὴ φαινομένην θήραν, τῇ εὐμηχάνῳ τῶν δικτύων θηρεύει πλοκῇ. Ἀλλὰ δεῦρο καταχθῶμεν ἀπὸ τῆς θαλάττης εἰς τὴν ἤπειρον, οὐκ ἀρκεῖ γὰρ ὁ χρόνος εἰς ἀκριβῆ τέχνης ἑκάστης διήγησιν. βλέπε τοίνυν τὰς τέχνας ἁπάσας παρ' ἀλλήλων ἐρανιζομένας τὸ χρήσιμον. οἰκοδομικὴ μὲν, παρὰ τῆς χαλκευτικῆς τὰ ὄργανα. χαλκευτικὴ δὲ, παρὰ τῆς οἰκοδομικῆς τὴν οἰκίαν. ἀμφότεραι δὲ, παρὰ τῆς γεωργικῆς τὴν τροφήν. καὶ τὴν γεωργικὴν αὖ, παρὰ τούτων τήν τε τῶν οἰκιῶν κατασκευὴν, καὶ τὰ συνεργεῖν εἰς γεωργίαν δυνάμενα. μᾶλλον δὲ σκόπησον ἐξ ἀρχῆς πῶς ὑπέδειξεν ὁ ποιητὴς τῷδε τῷ ζώῳ τὰς ἀναγκαίας χρείας. πόθεν γὰρ ἔγνω μεταλλεύειν σίδηρον καὶ χαλκὸν καὶ μόλυβδον καὶ κασσίτερον. τίς δὲ αὐτῷ τὰς ἀργυρείτιδας ὑπέδειξε φλέβας. τίς δὲ τὴν χρυσίτην γῆν ὀρύττειν ἐδίδαξε, καὶ τὰ μικρὰ ψήγματα τοῦ χρυσίου συλλέγειν ὑπέ-

Ministerio de Educación, Cultura y Deporte

δειξε. πόθεν ἔμαθε φύσιν ὑάλου. τίς αὐτὸν
τῆς ψάμμου τὴν διαφορὰν ἐπαίδευσε. τίς
αὐτὸν ἐδίδαξε τὴν τοιάνδε ψάμμον τῷ πυρὶ
παραδίδοσθαι, καὶ ὅπως, καὶ ἐπὶ πόσον. καὶ
τὴν συνεχῆ μὲν, χωριστὴν δὲ, εἰς συνεχὲς ἀχώ
ριστον μεταβάλλειν. πῶς ἔγνω διαπλάττειν ἐκ
ταύτης, πυρὶ καὶ πνεύματι συνεργῷ κεχρη
μένος, ἐκπωμάτων εἴδη μυρία, φιάλας, καὶ
κύλικας, καὶ βομβύλιους, καὶ ἀμφορεΐσκους,
καὶ ἔπιπλα, καὶ ἕτερα σκεύη πρὸς πᾶσαν
χρείαν βρωτῶν καὶ ποτῶν ἐπιτήδεια. δῆλον
τοιγαροῦν ὡς τούτων ἁπάντων τὴν γνῶσιν
παρὰ τοῦ πεποιηκότος ἐδέξατο, καὶ τῶν ἐπινοιῶν
τὰς δυνάμεις, καὶ τῶν τεχνῶν τὰς εὑρέσεις,
τῇ φύσει ὁ δημιουργὸς ἐγκατεβάλετο. διὸ καὶ
τῷ μεγάλῳ Ἰὼβ προσδιαλεγόμενος ἔλεγε.
Ἰώβ. λη » τίς ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν, καὶ
» ποικιλτικὴν ἐπιστήμην; θεόσδοτον γὰρ ὡς ὄντι
καὶ τοῦτο τῆς τέχνης τὸ χρῶμα, τῷ χρόνῳ μὲν
γὰρ εὐκαταφρόνητον γέγονε, καὶ ἡ γνῶσις τῆς
ἐργασίας ἀφῄρηται τῶν εὑρηκότων τὴν εὐ-
φημίαν. εἰ δέ τις ἀκριβῶς ἕκαστον σκοπῆσαι
θελήσειεν, σφόδρα ἂν καὶ ταύτην τὴν τέ-
χνην θαυμάσειεν. τὰ γὰρ ἔρια κειρόμενα, καὶ
τοῖς ὕδασι καθαιρόμενα, διαξαίνεται μὲν πρῶ
τον, καὶ εἰς λεπτὰ διαιρεῖται, εἶτα τὸ κάτα-

Ministerio de Educación, Cultura y Deporte

γμα, μὴ ῥῦμα γίνεται. ἔπειτα, ἡ ταλασιουρ-
γία λαβοῦσα, τὸ μὲν ἀκραιφνὲς καὶ οἱονεὶ εὐ-
θείας ἔχον τὰς ἶνας, τῶν λοιπῶν ἀποκρί-
νει. καὶ τὰ λοιπὰ δὲ συντεθεῖσα, κρόκην κα-
τασκευάζει τῷ στήμονι. εἶτα γυναικῶν χεῖ-
ρες λαβοῦσαι, τὰ λεπτὰ νήθουσι νήμα-
τα, καὶ ταῦτα πρότερον οἱονεί τινας χορδὰς
κατὰ τάξιν ἐν τοῖς ἴσοις διατείνεται, ἐμβάλ-
λουσι μὲν τὴν κρόκην, ταῖς δὲ κερκίσι τοὺς στή-
μονας διακρίνασαι, καὶ τῶν ἐμβεβλημένων
μηρίνθων, τὰς μὲν χαλῶσαι, τὰς δὲ τείνου-
σαι. εἶτα τοῖς εἰς τοῦτο συντεθειμένοις ὀργά-
νοις οἷον ὠθοῦσαι, καὶ πλοῦσαι τὴν κρόκην,
οὕτως ἀποπληροῦσι τὸ ὕφασμα. τίς ἂν πρὸς
ἀξίαν τὴν δοθεῖσαν σοφίαν τῷ ζώῳ θαυμά-
σειε; πῶς ἐν χρώματι τῶν ἀποκεκριμένων ἐρίων
ἢ σηρικῶν νημάτων παντοδαπῶν ζώων ἐν-
φαίνονται τύποι, καὶ ἀνθρώπων ἰνδάλματα,
τῶν μὲν, θηρευόντων. τῶν δὲ, προσευχομένων.
καὶ δένδρων εἰκόνες, καὶ ἕτερα ἄλλα μυρία.
» ἀληθῶς αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη το- ψαλ.
σαύτης ἀξιωθέντα σοφίας, τὰ τοσούτοις ἀ- ρις'
γαθοῖς ἐντρυφῶντα. τίς τὸν θαλάττιον ἰχθὺν
βαφὴν τοῖς ἐρίοις ἀπέφηνε. τίς πάλιν ταύ-
της τῆς τέχνης εὑρετὴς ἐγένετο, καὶ εἰς μυρία
χρωμάτων εἴδη μεταμφιέννυσι τῶν ἐρίων τὸ εἶ-

Ministerio de Educación, Cultura y Deporte

δύς. ἀλλ' ἴσως αἱ χαλεπαὶ νόσων φύσεις, λεπτότερα νήθειν τῶν ἀνθρώπων καὶ σκώληκας νήματα. ἀλλὰ καὶ τοῦτο τοῦ θείου ἔργον κηδεμονίας, ἵνα γὰρ μὴ μεγαλοφρονῇς ἐπὶ τῇ τῶν παντοδαπῶν τεχνῶν σοφίᾳ, μηδὲ νεανιεύῃ τῷ πλήθει τοῦ πλούτου, διὰ σκωλήκων ὁ κηδεμών σε παιδεύει, ὡς οὐ τῆς σῆς ἐστι ταῦτα δυνάμεως, ἀλλὰ τῆς θείας φιλανθρωπίας τὰ δῶρα. οὕτω δέ σε παιδαγωγῶν, παραμυθεῖται πάλιν, ἵνα μὴ ἀλγῇς ὑπ' ἐκείνων νικώμενος, σοὶ προσφέρων ἐκεῖνα τὰ νήματα, καὶ τοῖς σοῖς ὑποτάττων ζυγοῖς τὸν ἐκείνων ἐργάτην. σὺ μόνος ἐξ ἁπάντων τῶν ζώων πόλεις εἰς κάλλος ᾠκοδόμησας, καὶ πύργοις, καὶ περιβόλοις ὠχύρωσας. καταγωγίων δὲ καὶ ἐνδιαιτητηρίων ἐδομήσω κάλλη, καὶ τοῖς λειμῶσι τὴν θάλατταν τῇ ἠπείρῳ συνέζευξας. ἐπειδὴ δὲ θνητὸν ὁ ποιητής σε κατὰ τὸν παρόντα βίον πεποίηκως, ᾔδει σε καὶ ἀρρωστίαις περιπεσούμενον, τὸ γὰρ θνητὸν πάθεσι συγκεκλήρωται, ἐδίδαξέ σε καὶ τέχνην ἰατρικὴν, καὶ τήνδε τὴν ἐπιστήμην τοῖς πάθεσιν ἀντεστράτευσεν. ἐντεῦθεν μεμάθηκας τῶν μὴ φαινομένων παθημάτων εἰδέναι διαφορὰν, καὶ τῇ κινήσει τῶν σφυγμῶν, πυρετῶν ἐπιτάσεις καὶ ἀνέσεις γνωρίζειν, καὶ εἰσβολῆς, καὶ ἀκμῆς, καὶ παρα-

κμῆς

κμῆς ἐπιγινώσκειν καιρὸν, καὶ θανάτου προρῶν γνωρίσματα. καὶ τῆς ἐνοχλούσης ὕλης τὸ εἶδος γνωρίζειν, καὶ ταύτῃ προσφέρειν τὰ πολεμεῖν πεφυκότα. καὶ τὴν μὲν ὑγρὰν, ξηραίνειν. τὴν δὲ θερμὴν, καταψύχειν. ἐκπυροῦν δὲ καὶ ἐκθερμαίνειν τὴν ἐψυγμένην. ἐκφορεῖν δὲ τὴν πλημμυροῦσαν, ἢ ἐμετικοῖς, ἢ προωστικοῖς φαρμάκοις, ἢ τῇ τομῇ τῶν φλεβῶν. καὶ τίς ἂν ἐφίκοιτο λόγος ἢ τῷ πλήθει τῶν παθημάτων, ἢ τῷ πλήθει τῶν ἰαμάτων. πολλὰ μὲν γὰρ τὰ τῇ φύσει τοῦ σώματος πολεμοῦντα, πολλαπλάσια δὲ τὰ τούτων ἀλεξιφάρμακα. πολλὰ γὰρ ἐφεῦρεν ἡ τέχνη ἑκάστῳ πάθει πολεμεῖν πεφυκότα. τούτου χάριν ὁ ποιητὴς καὶ βοτάνας πολλὰς οὐκ ἐδωδίμους μόνον, ἀλλὰ καὶ ἀχρήστους εἰς ἐδωδὴν τῇ γῇ βλαστῆσαι προσέταξεν, ἐπειδήπερ οὐ μόνης τροφῆς, ἀλλὰ καὶ θεραπείας ἐνδεεῖς ἐσμὲν οἱ ἄνθρωποι. τούτων τοιγαροῦν τὰς μὲν, ἡμεῖς ὀψοποιούμεθα. τὰς δὲ, τῶν ἀλόγων ἐσθίει τὰ ποηφάγα. τὰς δὲ, ἰατρῶν συλλέγοντες παῖδες, τὰ ἀλεξίκακα κατασκευάζουσι φάρμακα, καὶ τὸ εἰς ἐδωδὴν ὀλέθριον, ἀλεξίκακον γίνεται φάρμακον. μὴ δὲ ταῦτά σε τοιγαροῦν εἰς κατηγορίαν τῆς προνοίας κινείτω. αὐτῶν γὰρ ἕκαστον εἰς εὐφημίαν τῶν εὐγνωμόνων



Ministerio de Educación, Cultura y Deporte

τὴν γλῶτταν καλεῖ. ἀλλὰ γὰρ ἔοικα τοῖς ἐν πελάγει νηχομένοις, καὶ πανταχόθεν περικλυζομένοις τοῖς κύμασι, καὶ τὴν ἤπειρον καταλαβεῖν ἐπιθυμοῦσι τοῦ πελάγους, τὸ τῶν τεχνῶν σοφίας κατατολμήσας, καὶ φιλονεικῶν μὲν διαφυγεῖν τῶν ἐπιόντων ἐνθυμημάτων οἱονεί τινων κυμάτων τὴν προσβολήν, αὐθις δὲ τὸ τέλος δραμεῖν, καὶ ὡς ἀκτὴν θαλαττίαν καταλαβεῖν. τὰς ἄλλας τοίνυν ἁπάσας καταλιπών, ἐπὶ τὴν γραμματικὴν βαδιοῦμαι τῷ λόγῳ, ἣ τῶν ἄλλων ἐστὶ λογικωτέρα, καὶ ἐμπρέπουσα τῷ ζώῳ τῷ λογικῷ. αὕτη τοίνυν ἐξεῦρε μὲν στοιχεῖα, καὶ ἀριθμῷ περιώρισε, συνέζευξε δὲ ταῦτα πρὸς ἄλληλα, καὶ συλλαβῶν συζυγίας εἰργάσατο. εἶτα δύο καὶ τρεῖς κατὰ ταὐτὸ συνάψασα συλλαβάς, τῶν ὀνομάτων ἐδίδαξε τὴν ἀνάγνωσιν. συνθεῖσα δὲ ταῦτα καὶ ξυφήνασα, μίαν τοῦ λόγου τὴν ἁρμονίαν εἰργάσατο. ἐντεῦθεν βίβλοι μυρίαι λόγων ἀρχαίων ἐπληρώθησαν. αἱ μὲν, ἱερῶν καὶ θείων καὶ μυστικῶν. αἱ δὲ, τῆς ἔξωθεν παιδείας. ἡ ποικιλία μέτρων, καὶ *ὀνομάτων κάλλει, καὶ συνθήκης ἁρμονίᾳ τὰς μυθώδεις συγκαλύπτουσα, τέρπει μὲν τὴν ἀκοήν, ὅπλον δὲ τοῖς εὐσεβέσι κατὰ τῆς ἀσεβείας γίνεται χρήσιμον. διὰ ταύτης τῆς ἐπιστήμης ἅπαντες ὁμιλοῦμεν

*νοημάτων

ἀλλήλοις. καὶ οἱ πολλῶν ἡμερῶν ὁδὸν ἀφεστηκότες, καὶ πολλοῖς σταθμοῖς ἐν μέσῳ διατειχίζοντας ἔχοντες, πεμπόμενα ἀλλήλοις διὰ χειρῶν τὰ τῆς ἐννοίας *κινήματα. καὶ ἀργεῖ μὲν ἡ γλῶσσα, τὸ πρῶτον ὄργανον τοῦ λόγου, ὑπουργεῖ δὲ τῷ λόγῳ ἡ δεξιά, καὶ μεταχειριζομένη τὸν κάλαμον, ἐγχαράττει τῷ χάρτῃ τὴν πρὸς τὸν φίλον διάλεξιν. καὶ γίνεται ὄχημα τοῦ λόγου, οὐκέτι στόμα καὶ γλῶττα, ἀλλὰ χεὶρ ἀσκήσασα τῷ χρόνῳ τὴν τέχνην, καὶ τῶν στοιχείων τὴν συνθήκην ἀκριβῶς ἐκμαθοῦσα. τούτου χάριν ὁ ποιητὴς τοιαύτας ἡμῖν ἐτεκτήνατο τὰς χεῖρας, εἰς πέντε δακτύλους διεσχισμένας, ἀντέταξε δὲ τοῖς τέτρασι τὸν μέγαν. οὔτε γὰρ οἷόν τε ἦν ἑνὶ, ἴσοις διακειμένοις δακτύλοις, παντοδαπὴν ἐνέργειαν ἐνεργεῖσθαι. νῦν δὲ τοῦ μεγάλου τοῖς ἄλλοις ἀντικειμένου, καὶ γραφίδα μάλα ῥᾳδίως κατέχομεν, καὶ σκαπάνην, καὶ δίκελλαν, πρίονά τε, καὶ σκέπαρνον, καὶ σφῦραν, καὶ πυράγραν, καὶ πάντα ὅσα τέχνης ἐστὶν ὄργανα. θεωρήσας τοίνυν διὰ τοῦ λόγου ὅσης παρὰ τὴν δημιουργίαν τῆς προνοίας ἀπήλαυσας, ὁπόσας σοι τέχνας καὶ ἐπιστήμας οὐ μόνον εἰς τὸ ζῆν, ἀλλὰ καὶ εἰς τὸ εὖ ζῆν ἐδωρήσατο πολλῇ φιλοτιμίᾳ, παρὰ τὴν σὴν χρησάμενος θεραπείαν, ὅσην σοι κεχά-

*κυήματα



Ministerio de Educación, Cultura y Deporte

ρισται φοραὶ ἀγαθῶν, ὅπως θυμήρησοι τὸν βίον ταῖς ἀπὸ τῶν τεχνῶν πραγματεύεται χρείαις, ὅτι σοι οὐ μόνον τὴν χρείαν, ἀλλὰ καὶ τὰ πέρα τῆς χρείας ἐπιρρεῖν πανταχόθεν ἐμηχανήσατο, ἔκβαλε τὴν ἀχαριστίαν τῆς γλώττης, δίδαξον αὐτὴν εὐφημεῖν, ὑποτάγηθι τῷ κυρίῳ, καὶ ἱκέτευσαι αὐτόν. μάθε

Ψαλ. ρλη » βοᾶν μετὰ τοῦ προφήτου. ἐθαυμαστώθη ἡ γνῶ-
» σις σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι
» πρὸς αὐτήν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας,

Ἀμήν :~

## Ἀποδείξεις ἐκ τῆς τῶν ἀλόγων ζώων ὑποταγῆς. λόγος ε.

Ὅτι μὲν τοῦ ποιητοῦ τῶν ὅλων ἡ περὶ τὴν ἡμετέραν φύσιν κηδεμονία, ὑμεῖς μὲν ἴστε σαφῶς ὦ φίλοι καὶ θιασῶται, καὶ τῆς τῶν λόγων διδασκαλίας οὐ δεῖσθε, τὰς γὰρ πηγὰς τῶν εὐεργεσιῶν διηνεκῶς ἐκεῖθεν δεχόμενοι, εἰς δύναμιν τῷ χορηγῷ τὸν ὕμνον προσφέρετε. ἐπειδὴ δέ τινες πολλὴν ἀναλγησίαν νοσοῦντες, τῶν θείων οὐκ ἐπαισθάνονται δωρεῶν, ἀλλὰ τοῖς θεοσδότοις ἀγαθοῖς ἐντρυφῶντες, ἀχαρίστως κατὰ τοῦ πεποιηκότος φω-

Ministerio de Educación, Cultura y Deporte

νὰς ἐρυγγάνουσιν, ἀναγκαίως ὁ λόγος καὶ τὴν κτίσιν σὺν τάχει πολλῷ περινοστήσας, καὶ τὴν φύσιν τὴν ἀνθρωπίνην εἰς μέσον προαγαγὼν, ὑπέδειξεν ἑκάστῳ μορίῳ καὶ τῆς κτίσεως, καὶ τῆς ἡμετέρας φύσεως τοῦ θεοῦ τὴν πρόνοιαν λαμπρῶς μάλα προσφαινομένην. καὶ τεχνῶν δι' ὀλίγων τὴν σοφίαν ὁμοῦ καὶ τὴν χρείαν δήλην πεποίηκεν, ὧν ὁ νοῦς ὁ ἀνθρώπειος εὑρετὴς ἐγένετο. τὰς δὲ, φιλοτιμίας ἕνεκεν καὶ τρυφῆς εὑρημένας, ζωγραφικήν φημι καὶ πλαστικὴν, ἀγαλματουργικήν τε καὶ χρυσοχοϊκὴν, ὀψαρτυτικήν τε καὶ τὰ ποπάνων μυρίων εὑρήματα, ἑκὼν παραλέλοιπε. πρὸς δὲ τούτοις, καὶ τὰς πέρα τοῦ μέτρου πολυπραγμοσύνας, ἀστρονομικὴν λέγω καὶ γεωμετρικὴν, ἀριθμητικήν τε καὶ μουσικὴν, ἧς ἔργον κατακηλεῖν τὴν ἀκοὴν καὶ μεταφέρειν, καὶ τὰς τῆς ψυχῆς διαθέσεις εἰς ὃ βούλεται μεταβάλλειν. καὶ τὴν μὲν ἀθυμοῦσαν, εἰς θυμηδίαν χαλᾶν. τὴν δὲ κεχαλασμένην, σύντονον καὶ ἀνδρείαν ἐργάζεσθαι, ταύτας καὶ τὰς τοιαύτας ἑκὼν ὁ λόγος παρέλιπε, καὶ μῆκος φεύγων, καὶ συντομίας φροντίζων, καὶ τῇ διανοίᾳ τῶν ἀκουόντων τὴν τέχνην ἑκάστης θεωρίας ἐπιτρέπων. ῥᾴδιον γὰρ ἐκ τῶν εἰρημένων ἀφορμὰς εἰς κατανόησιν τῶν παραλειφθέντων πρα



Ministerio de Educación, Cultura y Deporte

λαβεῖν. Ἀλλ' ἴσως ἂν εἴποιεν οἱ τὸν εὐεργέτην
ὑμνεῖν οὐκ εἰδότες, συκοφαντεῖν δὲ μεμαθη-
κότες, ὡς οὐ μόνον τῇ φύσει τῶν ἀνθρώπων
τῶν τεχνῶν τὴν εὕρεσιν ὁ ποιητὴς ἐδωρήσα-
το, ἔστι γὰρ ἰδεῖν καὶ τῶν πτηνῶν τὸ σμικρό-
τατον γένος τὰς μελίττας, πολιτικὸν καὶ
κοινωνικὸν αἱρουμένας βίον, διὰ δὲ τὴν ἀ-
σθένειαν τῷ κέντρῳ καθωπλισμένας, ἀμοι-
βαδὸν δὲ καὶ κατὰ τάξιν ἐκ τῶν σίμβλων
ἀπαιρούσας, καὶ τὸν ἀέρα διαπερώσας,
καὶ ἄλση καὶ λειμῶνας καὶ λήια ἐφι-
ζανούσας, καὶ τὸ χνοῶδες καὶ χρειῶδες συλ-
λεγούσας, καὶ σφᾶς αὐτὰς φορτιζούσας, καὶ
ταῖς τε ἀγκύλαις τῷ αὐχένι τὰ φορτία πε-
ριτιθείσας, καὶ οὕτως εἰς τοὺς σίμβλους ἐπα-
νιούσας, εἶτα οἰκοδομούσας τὰ κηρία, μήτε κα-
νόνος μήτε γνώμονος δεομένας, καὶ τάς τε γω-
νίας ἴσας ἀλλήλαις ὑπὸ πᾶσαν γραμμι-
κὴν ἐπιστήμην ἐργάζεσθαι, τά τε τῶν τοίχων
ὑφάσματα, καὶ τὰ τοῦ μέλιτος διαφράγμα-
τα λεπτὰ μάλα καὶ ἤτρια καὶ ὑμενώδη δεμεῖ-
σθαι, καὶ τὴν ὑγρὰν τοῦ μέλιτος φύσιν τοῖς λε-
πτοῖς τούτοις, καὶ συχνοῖς διατειχίσμασιν
εὖ μάλα συνέχειν, εἶθ' οὕτω τῶν γλυκέων τοῦ
μέλιτος ναμάτων τὰ δοχεῖα ἀνάπλεα ποιεῖν.
Text: τί τοιοῦτον φασὶν ἐτεχνάσατο τῶν ἀνθρώπων

correcta [illegible]

Ministerio de Educación, Cultura y Deporte

ἡ φύσις, εἰς φοιτητὰς καὶ διδασκάλους διῃρημένη, καὶ πόνῳ πολλῷ καὶ χρόνῳ κατορθοῦσα τὴν τέχνην, οἷα τῶν μελιττῶν τὸ φιλόπονον καὶ φιλόκαλον γένος, οὐκ εἰς διδασκάλους καὶ φοιτητὰς μεμερισμένον, οὐδὲ ἱμᾶσι καὶ ῥάβδοις τὴν τέχνην δεδιδαγμένον, ἀλλ' ἔμφυτον ἔχον καὶ αὐτοδίδακτον τὴν ἀμήχανον ἐργασίαν, ὑφαίνει τε τὰ κηρία, καὶ πληροῖ τὰ δοχεῖα, οὐ μέτρων, οὐ κανόνων, οὐ γωνιῶν δεομένη. καὶ τὰ δοχεῖα πληροῖ, οὐκ ἀποθλίβουσα βότρυας, οὐδ' ἑτέρῳ καρπῷ λυμαινομένη, ἀλλὰ τῆς δρόσου τὸ λεπτὸν ἀρυομένη, καὶ τοῦ μέλιτος φιλοτεχνοῦσα τὴν φύσιν. Φέρε τοίνυν ἐξ αὐτῆς τῆς κατηγορίας τὴν ἀπολογίαν ὑφαίνωμεν, κομιδῇ γὰρ εὐπετῶς ὑφ' ἑαυτῆς λυθήσεται. αἱ γὰρ μέλιτται τὸν πολὺν ἐκεῖνον καὶ εὐφυᾶ πόνον, καὶ τὸν ἄριστον δὲ καὶ ἥδιστον τοῦ πόνου καρπὸν, τῇ φύσει τῶν ἀνθρώπων προσφέρουσι. καὶ οἷόν τινες οἰκέται ὑπὸ τοῦ νόμου τῆς δεσποτείας ἀναγκαζόμεναι, καὶ τῶν οἰκήσεων ἐξίασι, καὶ τὸ χρειῶδες συλλέγουσι, καὶ ἀχθοφοροῦσαι διατελοῦσι, καὶ σπουδαίως οἰκοδομοῦσι, καὶ τοῦ μέλιτος ἐνιεῖσαι τὰ νάματα, ὥσπερ τινὶ θησαυρῷ σήμαντρα καὶ σφραγῖδας ἐπιβάλλουσι, καὶ οἷόν τινα δασμὸν καὶ φόρον ὡς βασιλεῦσι διηνεκῶς τοῖς

ἀνθρώποις χορηγοῦσι. τί οὖν ὦ ταλαίπωρε συκοφαντεῖς; καὶ τὸν φόρον καρπούμενος, τοῦ φόρου τὸν πράκτορα βλασφημεῖς; καὶ τοῖς ἀλλοτρίοις πόνοις ἐπεντρυφῶν, τὸν τούτων χορηγὸν λόγοις ἀχαρίστοις κατατοξεύεις; οὐ μόνον δὲ τοὺς τῆς φιλοπονίας αὐτῶν δρέπῃ καρπούς, ἀλλὰ καὶ ἑτέραν ὠφέλειαν ἐντεῦθεν τρυγᾷς. πρῶτον μὲν γὰρ μανθάνεις, ὅσων ἀγαθῶν ἡ ὁμόνοια πρόξενος, καὶ ἡλίκων καρπῶν τυγχάνει δημιουργός. πολιτικὸν γὰρ βίον μιμεῖται τὰ σμήνη τῶν μελιττῶν. οὐδὲν παρ᾽ ἐκείναις ἴδιον, ἀλλὰ κοινὸς ὁ πλοῦτος, ἀμέριστος ἡ κτῆσις. οὐκ ἔχουσι δίκας, οὔτε δικαστήρια, οὐδέ τι ἀδικοῦσιν ἀλλήλας, οὐκ ἐφίενται τοῦ πλείονος, πρὸς μόνην ἐπιμόνως διάκεινται τὴν ἐργασίαν, διὸ καὶ τοὺς κηφῆνας, ἔξω τῶν πυλῶν ἀπελαύνουσιν, ὡς πονεῖν οὐκ ἀνεχομένους, ἀργῶς δὲ τὸν ἀλλότριον ἀναλίσκοντας πόνον. μισοῦσι πολυαρχίας καὶ δημοκρατίαν, ἕνα ἔχουσιν ἡγεμόνα, ἐκείνῳ πείθεσθαι φίλον αὐτοῖς. καὶ τούτων ἕκαστον δρῶσιν ἢ πάσχουσιν, οὐ λόγων ἐπαΐουσαι, οὐδὲ νόμους ἀναγινώσκουσαι, οὐδὲ πρὸς διδασκάλους φοιτῶσαι. οὐδὲ μία γοῦν παρ᾽ ἐκείναις σοφωτέρα τῆς ἑτέρας, οὐδὲ πλείονα οἶδε τῆς νεωτέρας ἡ πρεσβυτέρα. πᾶσαι δὲ ὁμοίως

Ministerio de Educación, Cultura y Deporte

ἕκαστα τῶν εἰρημένων μετίασιν, οὐκ ἐν λογικῇ
γνώσει, ἀλλ' ἐν τῇ φύσει λαβοῦσαι παρὰ τοῦ
ποιητοῦ τῶν ὅλων τὴν φιλόπονον ἐκείνην καὶ
φιλόκαλον ἐργασίαν. σοὶ δὲ τούτων ἕκαστον
ὠφελείας ὑπόθεσις, μανθάνεις γὰρ παρὰ
τῶν ἀλόγων ὁ λογικὸς, τὸν μὲν ἀργὸν ὡς βλα-
βερὸν ἐκτρέπεσθαι βίον, τοὺς δὲ τῆς ἀρετῆς
πόνους προθύμως μεταδιώκειν, καὶ πανταχό-
θεν τὴν ταύτης ἐρανίζεσθαι κτῆσιν. ἀρχὴν,
τὴν μὲν οὐ προσοῦσαν, ἥκιστα ζητεῖν, τὴν δὲ
προσγινομένην, ὀρθῶς καὶ δικαίως οἰκονομεῖν.
κοινὰ τὰ ὄντα νομίζειν. προτιθέναι τοῖς δεο-
μένοις τὴν τούτων ἀπόλαυσιν. τοῖς μὲν εὖ
φρονοῦσι, καὶ τὸν χαρακτῆρα τῆς φύσεως ἀκή-
ρατον διασώζουσι, ἀρκεῖ πρὸς διδασκαλίαν
ὁ ἔμφυτος λόγος, τοῖς δὲ τοῦτον διαφθείρου-
σι, καὶ θηριώδη βίον προελομένοις, ζῷον ἁρπα-
κτικόν τι καὶ αἱμοβόρον, ἔλεγχος ἀληθὴς
πρόκειται τῶν ἀλόγων ἡ σύντακτος πολιτεία.
τῆς σῆς τοιγαροῦν προμηθούμενος ὠφελείας
ὁ ποιητὴς, φυσικοῖς τισι πλεονεκτήμασι διε-
κόσμησε τῶν ἀλόγων τὰ γένη, ἵν' ἔχῃς κἀντεῦ-
θεν τὴν ὠφέλειαν καρποῦσθαι. καὶ τούτου
μάρτυς ὁ σολομὼν, παρακελευόμενός σοι καὶ Παρ. 5
» λέγων. ἴθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ, καὶ ζή-
» λωσον τὰς ὁδοὺς αὐτοῦ. ἢ πορεύθητι πρὸς τὴν

Ministerio de Educación, Cultura y Deporte

» μέλιτταν, καὶ μάθοι ὡς ἐργάτις ἐστὶ, τήν τε ἐρ-
» γασίαν ὡς σεμνὴν ποιεῖται. ἧς τοὺς πόνους,
» βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέ
ρονται. μαρτυρεῖ δὲ καὶ αὐτὸς ὁ τῶν ὅλων
Ἱερε. η'. » θεὸς, διὰ τοῦ προφήτου λέγων. τρυγὼν καὶ τέττιξ
» καὶ χελιδὼν, ἀγροῦ στρουθία, ἔγνωσαν καιροὺς
» εἰσόδων αὐτῶν. ὁ δὲ λαός μου, οὐκ ἔγνω τὰ
Κεφ. α'. » κρίματα κυρίου. καὶ πάλιν διὰ Ἡσαΐου. ἔγνω
» βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ
» κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ
» λαός μου ἐμὲ οὐ συνῆκε. κατηγορεῖ τοίνυν τῶν
λόγῳ τετιμημένων τὰ φυσικὰ τῶν ἀλόγων πλεο
νεκτήματα. τοῦτο χρὴν ὀλοφυρόμενος ὁ προ
φήτης, καὶ τραγῳδῶν τῶν ἀνθρώπων τὴν εἰς
» ἀλογίαν μετάπτωσιν ἐβόα. ἄνθρωπος ἐν τι-
Ψαλ. μη'. » μῇ ὢν οὐ συνῆκε. παρασυνεβλήθη τοῖς κτή
» νεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. διὰ
τοῦτο τοὺς μὲν, λύκους προσαγορεύουσι. τοὺς δὲ,
λέοντας ἐνεδρεύοντας. τοὺς δὲ, κύνας τοῦ τρο-
φέως καθυλακτοῦντας. τοὺς δὲ, δαμάλεις πα
ροιστρώσας. τοὺς δὲ, ὄφεις, καὶ ἐχιδνῶν γεννή
ματα. τοὺς δὲ, ἀσπίδας βυούσας τὰ ὦτα, καὶ
ἐπῳδῶν οὐκ ἀκουούσας. ὥσπερ δὲ τοῖς πονη
ροῖς ἤθεσι τὰς τῶν θηρίων προσηγορίας ἐπέ
θεσαν, οὕτω ταῖς ἁπλαῖς καὶ ἀκακοήθεσι
ψυχαῖς ἐκ τῶν ἐπαινουμένων ζώων τὰς προση

Ministerio de Educación, Cultura y Deporte

γορείας τεθείκασιν. ἔστι γὰρ εὑρεῖν καὶ περιστε-
ρὰν καὶ τρυγόνα τῇ ἁπλότητι τῆς πίστεως κεκοσ-
μημένην προσαγορεύειν ψυχήν. τούτῳ τῷ
προσρήματι καὶ τὴν ἐκκλησίαν ὁ νυμφίος ἐν
τῷ μυστικῷ τῶν ᾀσμάτων προσαγορεύει βι-
βλίῳ. καὶ πρόβατα δὲ τὰς εὐπειθεῖς καὶ τοῦ
» ποιμένος ἐρώσας ὀνομάζει ψυχάς. Τὰ πρόβα- Ιωάν. ι'
» τα γάρ φησι τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει,
» καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν
» ἐμῶν. καὶ πάλιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός.
» ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν
» ὑπὲρ τῶν προβάτων. καὶ ἑτέρωθι. στήσει τοὺς
» ἀμνοὺς ἐκ δεξιῶν, τοὺς δὲ ἐρίφους, ἐξ εὐωνύ-
μων. καὶ ἀετοὺς δὲ πάλιν, τοὺς ὑψιπετεῖς, καὶ
τῶν γηΐνων ἀπηλλαγμένους, καὶ τὸ τῆς ψυχῆς
ὄμμα καθαρὸν κεκτημένους, καὶ τοῦ μυστικοῦ
σώματος ἐφιεμένους, ἐν τοῖς ἱεροῖς εὐαγγε-
λίοις ὠνόμασε. περὶ γὰρ τῶν κατὰ τὸν τῆς ἀνα-
στάσεως καιρὸν εἰς τοὺς οὐρανοὺς ἁρπαζομένων
ἁγίων διαλεγόμενος, ἐπήγαγε λέγων, ὅπου τὸ
» πτῶμα ἐκεῖ συναχθήσονται οἱ ἀετοί. εὔδηλον Ματθ.
τοίνυν ἐκ τῶν εἰρημένων, ὡς ἡμῶν χάριν ὁ ποιη- κδ'.
τὴς καὶ ταῖς μελίτταις, καὶ τοῖς ἄλλοις ἀλό-
γοις ἅπασι φυσικά τινα πλεονεκτήματα δέ-
δωκε καὶ δείκνυμεν, ὡς ἂν ἡμεῖς πανταχόθεν
τὴν ὠφέλειαν συλλέγωμεν. αὐτίκα τοίνυν

Ministerio de Educación, Cultura y Deporte

τὸ δὲ τῶν μελιττῶν, καὶ ἕτερον δρεπόμεθα κέρδος, διδασκόμεθα γὰρ τῇ τῶν ἐπιστημόνων καὶ τεχνιτῶν εὑρέσει, μὴ νεανιεύεσθαι, μὴ δὲ μέγα φρονεῖν, μὴ δὲ τὴν φύσιν ἀγνοεῖν, ἀλλὰ γινώσκειν τὸν ποιητὴν, καὶ εἰς ἐκεῖνον ἀναφέρειν τῶν ἀγαθῶν τὴν αἰτίαν. ἵνα δὲ μὴ ἀλύωμεν καὶ δυσχεραίνωμεν, ὡς κοινωνοὺς ἔχοντες τῆς τέχνης, καὶ μηδὲν τῶν ἀλόγων διαφέροντες, ἡμῖν ἔδωκεν ὁ ποιητὴς τὸν τῆς μελιττουργικῆς φιλοπονίας καρπὸν, ἵν' ἅμα καὶ τὸν γαῦρον ἡμῶν αὐχένα τῇ κοινωνίᾳ ταπεινώσῃ τῆς τέχνης, καὶ τῇ τῶν κοινωνῶν δουλείᾳ ψυχαγωγήσας, ἀποσκευάσηται τὸ λυποῦν. τί τοίνυν ἀλγεῖς ἄνθρωπε τὰς μελίττας φιλοτεχνούσας ὁρῶν; καὶ γὰρ ὁ ἐκείνων πόνος, σὸς ὑπάρχει καρπός. καὶ αἱ μὲν, πονοῦσι, σὺ δὲ, τὸν ἀπὸ τῶν πόνων ἀπολαύεις χλιδῆς. Καὶ ἀράχνης δὲ τῶν λεπτῶν ἐκείνων καὶ ἀφανῶν νημάτων ἐνέφυσε τὴν τέχνην, ἵνα σε διδάξῃ πῶς δεῖ θηρεύειν τῶν ὀρνίθων τὰ γένη. καὶ ἐκεῖνος μὲν γὰρ πλέκει τὰ θήρατρα, οὐχ ὑπὸ λόγου τὴν τέχνην δεδιδαγμένος, ἀλλὰ τὴν φύσιν ἔχων διδάσκαλον. σὺ δὲ λόγον οἰκεῖον ἔχων, καὶ τὸ παράδειγμα προκείμενον θεωρῶν, εἰ δὴ μυρία δικτύων ἐμηχανήσω. καὶ κωλύει μὲν οὖν τὸν τῦφον καὶ τὴν ἀλαζονείαν, τὸ σμι-

Ministerio de Educación, Cultura y Deporte

κρότατον ἐκεῖνο ζωΰφιον, λόγου δ᾽ ἔχα σοι πρε-
σχικὸς τὴν τοῦ παραδείγματος χρείαν. ψυχα-
γωγεῖ δέ σε πάλιν τὸ τῶν θηράτρων ποικίλον,
τὸ μὲν γὰρ ἀρχέτυπον, ἓν, μυρία δὲ τὰ μιμή-
ματα. πτύουσι μὲν γὰρ, νεφελοθηλίαν ἐμηχα-
νήσω, καὶ ταύτην ἐν ἀμφιλαφέσι χωρίοις πη-
γνὺς, τῇ πρὸς τὸν ἀέρα τῶν θηράτρων ὁμοιώ-
σει, κλέπτεις τῶν ὀρνίθων τὴν αἴσθησιν. λαμ-
βάνεις δὲ συνεργὸν εἰς ἄγραν, τὸν τῆς διώξεως
φόβον, ἐξελαυνόμενα γὰρ τὰ θηρευόμενα τῶν
ὀρνίθων, καὶ ἐντεῦθεν κἀκεῖθεν εἰς τὰ θή-
ρατρα συνωθούμενα διαμαίνονται τοὺς διώκον-
τας, καὶ προϊδεῖν ἀκριβῶς οὐκ ἰσχύει τὰ πρόσω-
πα. εἶτα τοῖς συνεχῶς πεπταμένοις ἐφιπτά-
μενα δικτύοις, περιπίπτει τοῖς βρόχοις. καὶ
ταῦτα μὲν ἀέρι κρεμαννὺς, θηρεύεις τοὺς ὄρ-
νιθας. ἕτερα δέ σοι τούτων πάλιν στεγανότε-
ρα μεμηχάνηται πρὸς τὴν αὐτὴν τούτων τῶν
ζώων ἄγραν, ἐν τῇ γῇ μὲν ἐφαπλοῖς, βόθρον
δὲ ὀρύττων, ὕδατος τοῦτον πληροῖς, χειροήθεις
δὲ ὄρνιθας ἐφιστῆς τοῖς δικτύοις, ἵνα τῇ ὄψει
καὶ τῇ φωνῇ τοὺς ὁμογενεῖς ἐφελκύσωνται.
εἶτα τοῦ μὲν ὕδατος ὁρωμένου, τοῦ δὲ ὄρνιθος
φθεγγομένου τε καὶ φαινομένου, οἱ μὲν, ἐφίπταν-
ται, σὺ δὲ τῇ τέχνῃ χρώμενος, ἐντὸς αὐτοὺς τῶν
δικτύων ποιεῖς. ἕτεραι σοι πάλιν ἐξεύρηνται

Ministerio de Educación, Cultura y Deporte

μηχανὴ, πρὸς τὴν τῶν τετραπόδων θήραν. ἀρπεδόναι μὲν γὰρ καὶ ποδάγραι καὶ ποδοστράβαι, τοὺς ἐλάφους θηρεύουσιν. ἄρκυσι δὲ, συάγρους καὶ δορκάδας καὶ λαγωούς. βάραθρα δὲ καὶ τοιαῦτα μηχανήματα, τῶν θηρίων τὰ ἀγριώτατα. οὐκ ἤρκεσε δέ σοι τῶν πετεινῶν καὶ κτηνῶν ἡ φύσις εἰς θήραν, ἀλλ' ἤδη καὶ τῶν θαλαττίων κατετόλμησας ζώων, καὶ κύρτους, καὶ πάναγρα, καὶ ἀμφίβληστρα, καὶ σαγήνας, καὶ ὅσα τοιαῦτα σκευάσας, τὴν νηκτὴν φύσιν ἀγρεύεις. καὶ τὴν ὑποβρύχιον, τῇ τέχνῃ μετέωρον φέρεις, καὶ τοὺς τῶν ὑδάτων τροφίμους, θηρεύεις. καὶ χερσαῖος ὢν, ἀνάγεις παρὰ σεαυτὸν τοὺς τὸν βυθὸν ἔχοντας ἐνδιαίτημα. καὶ τὰ μυρία τῶν ἰχθύων γένη, σοὶ πρόκειται εἰς ἀπόλαυσιν, τῆς ἁλιευτικῆς σοι τέχνης τοῦτο παρεχούσης τὴν χρείαν. μὴ τοίνυν δυσχεραίνῃς ὁρῶν ἀράχνην τὰ λεπτὰ νήματα ὑφαίνοντα, κερδαίνεις μὲν γὰρ ἐκείνου, τὸ μὴ μέγα φρονεῖν, ἀλλὰ τὸν κοινὸν δημιουργὸν ἀνυμνεῖν. ψυχαγωγῇ δὲ πάλιν, ὁρῶν ἐκεῖνον ἐμπίδας καὶ κώνωπας ἀγρεύοντα, καὶ τὰ τοιαῦτα ζωΰφια, σεαυτὸν δὲ καὶ πτηνῶν τῶν ὀξυτάτων τῇ σοφίᾳ περιγινόμενον, καὶ τὴν νηκτὴν καὶ ὑποβρύχιον φύσιν τοῖς σοῖς μηχανήμασιν εἴκειν ἠναγκασμένην, καὶ τῶν πεζῶν τὰ γένη τοῖς σοῖς νόμοις

Ministerio de Educación, Cultura y Deporte

πειθόμενα. μὴ τοίνυν δυσχεραίνῃς, ὡς πτερῶν ἐστερημένος, εἴληχας γὰρ σοφίαν ὑποχρείον τὴν ὑπὸ πτερὸν φύσιν ἐργαζομένην. ἔχεις δὲ καὶ νοῦν, πτηνῶν ἁπάντων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ἀνέμων ὀξύτερον. ἔνθα γὰρ ἂν νοήσῃ, ἐκεῖσε παραχρῆμα γίνεται. καὶ ἐν τῷ σώματι καθειργμένος, καὶ τῇ γῇ προσδεδεμένος, οὐρανόν τε περιπολεῖ, καὶ τὰ ἐν οὐρανῷ κάλλη, καὶ τὸν οὐρανὸν ὑπερβαίνει, καὶ τὰ ὑπὲρ ἐκεῖνον φαντάζεται, καὶ τὴν οἰκουμένην περινοστεῖ, καὶ ἔθνεσι μυρίοις συγγίνεται, καὶ τοῖς πόῤῥωθεν οὖσι τῶν φίλων προσδιαλέγεται. τί τοίνυν ἀλγύνεις καὶ ἀνιᾷ τῶν ὁρωμένων πτερῶν ἡ στέρησις, τοιαῦτα πτερὰ νοητὰ κεκτημένον; οὔπω ῥᾳδίως τῶν ὑποπτέρων περιγινόμενα; οὐ πτερωτὸν ἔχεις τὸ σῶμα, ἀλλὰ τοὺς ἀεροπόρους ὄρνιθας τῇ σοφίᾳ θηρεύεις. ταύτῃ συνεργῷ κεχρημένος, ταῦρον ἰσχύϊ καὶ κέρασιν ὡπλισμένον, ὑπὸ ζυγὸν ἄγεις, καὶ δουλεύειν ἀναγκάζεις, καὶ πόνοις διηνεκέσιν ὑποβάλλεις, ἄρουραν τέμνειν, ἅμαξαν σύρειν, τὰ τοῖς ἀχθοφοροῦσι τῶν κτηνῶν ἀδύνατα μεταφέρειν, οἰκοδόμοις μετακομίζειν τὰς ὕλας. καὶ σὺ μὲν κελεύεις, ὁ δὲ, τὸν ζυγὸν ὑπέρχεται, καὶ τῆς ζεύγλης ἀνέχεται, καὶ τῆς τῶν κεράτων ἐπιλανθάνεται χρείας, καὶ τὴν σὴν δειμαίνει

φωνὴν, καὶ τῆς ἰσχύος τὸ διάφορον οὐκ ἐπίστα-
ται, ἀλλὰ τῷ λίαν ἀσθενεστέρῳ ζώῳ δουλεύειν
ἀνέχεται. τοσοῦτῳ ῥώμης σωμάτων ἀμείνων
ὁ λόγος. οὗτος, ὄνον καὶ ἡμίονον καὶ κάμηλον
ἀχθοφορεῖν κελεύει, καὶ κάθηται μὲν ἐπιφε-
ρόμενον τῶν εἰρημένων ἕκαστον, ἀνίσταται δὲ κε-
λευόμενον καὶ τοῖς φορτίοις βαρυνόμενον. καὶ
ταῖς μακραῖς ὁδοιπορίαις τρυχόμενον, ἀνέχε-
ται τῶν ἀλγυνόντων, καὶ τοῖς βαρύνουσι πεί-
θεται, καὶ προσφερόμενον μὲν δέχεται τὸν χι-
λὸν, λιμῷ δὲ πιεζόμενον, οὐ καταβοᾷ τῶν κε-
κτημένων, τίς γὰρ ὁ τῆς δουλείας ὅρος παρὰ
τῆς φύσεως ἔμαθε. διὰ τοῦτο καὶ μόνη τῶν
κηδεμόνων ἡ φωνὴ, καὶ τὰ λίαν ἰσχυρὰ τῶν
ζώων δεδίττεται. σὺ δὲ τὸ τῆς κτίσεως ἁπά-
σης δεσπότου καταφρονεῖς, καὶ λαμβάνων
ἐκ τῶν ἀλόγων εἰκόνος ἀφορμὴν ὠφελείας,
οὐδὲ θέλεις ὑποτάττεσθαι τῷ κυρίῳ, καὶ ἱκε-
τεύειν αὐτὸν, οὐδὲ φέρεις εὐτάκτως τῆς ἀρετῆς
τὰ φορτία, ταῦτα γάρ σοι ὁ δεσπότης ἐπέθη-
κεν, ἀλλὰ σκιρτᾷς καὶ τυραννεῖς, καὶ φεύ-
γεις τὸν ζυγὸν ὡς ἀπειρόζυγος μόσχος, καὶ οὐκ
ἀνέχῃ τῶν χαλινῶν, ἀλλὰ τούτους ἀποῤῥηγνὺς,
δραπετεύεις καὶ φέρῃ κατὰ κρημνῶν, καὶ τὸν
ἔμφυτον ἡνίοχον κατασύρεις. οἱ δὲ τὴν κα-
λὴν ταύτην δουλείαν ἠγάπησαν, καὶ τῷ δεσπο-

τικῷ

Ministerio de Educación, Cultura y Deporte

πικῷ καὶ θερμῶς καὶ γενναίως ἐζώσθησαν ἔρωτι, πολλὴν καὶ ἀπὸ τῆς ἀλόγων εἵλκυσαν τὴν ὠφέλειαν. διὸ καὶ ἐν ψαλμοῖς, δι' ἑνὸς βοῶσιν ἅπαντες. κτηνώδης ἐγενόμην παρὰ σοί, καὶ ψαλ οβ
» ἐγὼ διὰ παντὸς μετὰ σοῦ. τῷ γὰρ κτήνει παραβολησίως ἡγουμένῳ σοί φησιν ἕπομαι, οὐ πολυπραγμονῶν εἰς ποίαν ἄγεις ὁδόν, οὐδὲ περιεργαζόμενος ταύτης τὸ βραχὺ καὶ μακρὸν καὶ ἐπίπονον, οὐδὲ δυσχεραίνω ταύτης τὸ στενὸν καὶ προσάντες καὶ ἀμφίκρημνον. πέπεικα γὰρ ἐμαυτὸν, ὡς ἀγαθὸς ὢν, ἀγαθῶς ὁδηγήσεις. τούτου χάριν ἐν τοῖς ἄλλοις ἅπασιν, ἐξεταστικός τις εἰμὶ, καὶ λογικὸς, καὶ κρίνειν τὸ δέον ἐπίσταμαι, καὶ φεύγειν τὸ λυποῦν οἶδα σαφῶς. σοῦ δὲ ἄγοντος, ἐῤῥῶσθαι φράσας ἐκείνῳ τῷ λογικῷ, τοὺς κτήνεσι μιμοῦμαι τὸ εὐπειθὲς, καὶ τοῖς ἄλλοις ὢν λογικὸς, κτηνώδης γίνομαι παρὰ σοί. διὰ τοῦτο τῆς σῆς οὐ χωρίζομαι συνουσίας, ἀλλὰ διαπαντὸς εἰμὶ μετὰ σοῦ, ἐπειδὴ τοῖς σοῖς ἴχνεσιν ἕπομαι, καὶ τῷ χαλινῷ πείθομαι, καὶ ὡς ἂν ἄγῃς ἄγομαι. ἤν διὰ λείας, ἤν διὰ τραχείας, ἤν διὰ στενῆς, ἤν διὰ πλατείας μὲ ξεναγῇς. θαῤῥῶ γάρ σου τῇ σοφίᾳ. πιστεύω τῇ ἀγαθότητι. οἶδα γὰρ τῷ ὄντι σοῦ καλόν τε καὶ ἀγαθὸν, ὃ περὶ αὐτοὺς ἐθελήσῃς. τοσαύτην οἱ κερδαίνειν εἰδότες καὶ ἐκ τῶν ἀλόγων



Ministerio de Educación, Cultura y Deporte

ἔχουσιν ὠφέλειαν. ὁρῶν καὶ σὺ τοιγαροῦν πειθόμενά σοι τὰ ζῶα, πείθου τῷ δοῦλά σοι ταῦτα πεποιηκότι. αὐτός σοι τῶν ἵππων ὑπέταξε τὰς ἀγέλας, καὶ γαυριῶντα τὸν ἵππον λαμβάνων, καὶ φέρειν ἐπιβάτην οὐκ ἐπιστάμενον, τῇ τέχνῃ μεταρρυθμίζεις, καὶ τοῦ τε θράσους ἐλευθεροῖς, τά τε σκιρτήματα παύεις, καὶ τὸν εἰς ὕψος τεταμένον αὐχένα, καμπυλοειδῶς ἐπικάμπτεις, καὶ κάτω νεύειν παρασκευάζεις τὸ πρόσωπον, καὶ ῥυθμὸν διδάσκεις βαδίσματος, καὶ ὁπλῶν μετάθεσιν εὔτακτον, καὶ δρόμον ὀξὺν ὅταν δέῃ, καὶ χειροήθη τὸν ἀγελαῖον ποιεῖς, καὶ τῆς σῆς ἀνέχεσθαι χειρὸς καὶ φωνῆς ἀναπείθεις. ἀνέχεταί σου καὶ μαστίγων, ὁ πολλῷ σου κρείττων καὶ ῥώμῃ καὶ τάχει. φέρει σου τὰς ἀπειλὰς, καὶ δέδιε, καὶ δι᾽ ὧν δρᾷ τὴν δουλείαν ὁμολογεῖ. οὗτός σοι καὶ θηρῶντι συνθηρεύει, καὶ πολεμοῦντι συναγωνίζεται, καὶ κατὰ τῶν ἀντιπάλων μετὰ ῥύμης χωρεῖ. κἂν φεύγειν ἐθελήσῃς, δειλιῶν μεταβάλλει τὸ θράσος καὶ τρέπεται καὶ φεύγει, καὶ σὺν τάχει φερόμενος, τῶν διωκόντων ἐλευθεροῖ. καὶ οὔτε κατὰ μετώπου φάλαγγος ὁρμᾶν κελευόμενος, ἀπειθεῖ, οὔτε δραπετεύειν ἐπιταττόμενος, ἀντιλέγει. ἀλλ᾽ ἕνα οἶδεν ὅρον σωτηρίας, τοῦ ἐπιβάτου τὸν νόμον. καὶ τί λέγω

ἵππον, καὶ ὄνον, καὶ κάμηλον; ἤδη γάρ σοι
καὶ ἐλέφας τῶν χερσαίων ζώων τὸ μέγιστον ὑ-
πακούειν ἐθέλει, ὃ καὶ τὰ μέγιστα τῶν δέν-
δρων ἀνασπάσαι πρόῤῥιζα τῇ προνομαίᾳ δυ-
νάμενος. καὶ οὐ λογίζεται τὴν ἰσχὺν, οὐκ ἐν-
θυμεῖται τὴν ῥώμην, οὐχ ὁρᾷ τὸν ὄγκον τοῦ
σώματος, ὡς γηλόφοις τισὶ τῷ μεγέθει μι-
μεῖται, ἀλλὰ τῆς σῆς δεσποτείας ἀνέχεται.
καὶ σὺ μὲν καθήμενος ἐπιτάττεις, σὲ γὰρ καλὼ
τὴν φύσιν, ὁ δὲ, ποιεῖ τὸ κελευόμενον. κἂν τὸν
μισθὸν δὲ τῆς θεωρίας παρὰ τῶν θεωρούντων
δέξηται, σοὶ τοῦτον τῇ προνομαίᾳ οἷόν τινι λα-
βίδι κεχρημένος ὀρέγει. τοῦτο σοι καὶ πολε-
μοῦντι συναγωνίζεται, καὶ πολλοὺς τοξότας
ἐπὶ τῶν ὤμων δεχόμενον, οἷον ἀπό τινος πύρ-
γου βάλλειν τοὺς ἐναντίους παρασκευάζει, καὶ
ταῖς φάλαγξιν ἐπιὸν, διαλύεται καὶ ῥήγνυ-
σι ῥᾳδίως, καὶ τοὺς ὁπλίτας σκεδάννυσι. μὴ
τοίνυν δυσχεραίνῃς μικρὸν ἔχων τὸ σῶμα, ἀλ-
λὰ σκόπησον ἡλίκα τούτῳ ζῶα δουλεύειν ἀνέ-
χεται, καὶ τὸν οὕτω τάξαντα προθύμως ἀνύ-
μνησον, καὶ δι' αὐτὸ δὲ τοῦτο, χάριν ὁμολόγη-
σον τῷ ποιητῇ. τῆς γὰρ ψυχικῆς σου προμηθού-
μενος σωτηρίας, μέγα σοι λίαν οὐ προτέθει-
κε σῶμα, ἵνα μὴ κατ' ἄμφω πλεονεκτῶν εἰς
τὴν διαβολικὴν ἀλαζονείαν ἐκπέσῃς. εἰ γὰρ



Ministerio de Educación, Cultura y Deporte

καὶ μικροῦ τοῦ σώματος ὄντος, μέμηνας, καὶ λυττᾷς κατὰ τοῦ κτίσαντος, τί οὐκ ἂν ἔδρασας, εἰ καὶ γίγαντος τὸ μέγεθος ἔλαβες; νῦν δὲ, ἡ μὲν βραχύτης διδάσκει σε σωφρονεῖν, καὶ γνωρίζειν τὸν ποιητὴν, τοῦ δὲ λόγου τὸ δῶρον, τὸ βραχὺ παραμυθεῖται τοῦ σώματος, διὰ τούτου γὰρ ἄγεις καὶ φέρεις τῶν ἀλόγων τὴν φύσιν, τὰ ποίμνια, τὰ αἰπόλια, τὰ συφόρβια, τῶν ἵππων τὰς ἀγέλας, καμήλους νομάδας ἀχθοφορούσας, τὴν μικτὴν τῶν ὀρνέων καὶ ἡμιόνων φύσιν. καὶ τὰ μὲν εἰς θοίνην σοι πρόκειται, καὶ πολυτελῆ σοι ποιεῖ τὴν τράπεζαν, καὶ παντοδαπήν σοι πραγματεύεται τὴν χλιδήν, παντοίων ἐδεσμάτων χορηγοῦντά σοι τὰς ὕλας, τὰ δὲ, σιτηγεῖ καὶ ξυλοφορεῖ, καὶ τῶν ἄλλων ἀναγκαίων μετακομίζει τὰς χρείας. κύνες οἱ μὲν, συνθηρῶσιν. οἱ δὲ, συμποιμαίνουσιν. οἱ δὲ, φύλακες γίνονται τῆς οἰκίας. τῇ τούτων ἀγρυπνίᾳ θαῤῥοῦντες οἱ ποιμένες, ὕπνου μεταλαγχάνουσι, τούτους ἔχοντες συνεργούς, ὀλίγοι πολλὰ νέμειν ἀνέχονται πρόβατα. προκινδυνεύειν γὰρ οὐ μόνον τῶν δεσποτῶν, ἀλλὰ καὶ τῶν προβάτων ἀνέχονται, καὶ τῶν ποιμένων ὑπερμαχοῦσι, καὶ τοῖς λύκοις διαμάχονται προθύμως, καὶ πληττόμενοι, φεύγειν ἀγεννῶς οὐκ ἀνέχονται. τῇ δὲ ὑλακῇ, τὸν

Ministerio de Educación, Cultura y Deporte

πεποιημένας εἰς ἐπικουρίαν καλοῦσι. καὶ ταῦτα ὁ κύων ὁρᾷ, οὐκ ἔχων λόγον διδάσκαλον, ἀλλὰ φυσικῇ τινι πλεονεξίᾳ κεκοσμημένος. οὗτος ἰχνεῦσαι θήραν ὑπὸ κυνηγέτου κελευόμενος, καὶ τῶν ὀσμῶν ἀντιλαμβάνεται, καὶ ταύταις οἷον ἴχνεσί τισι κατ' ἀκρίβειαν ἑπόμενος, οὐ πρότερον ἀφίσταται, ἕως οὗ εὕρῃ τὸ θήραμα. εὑρὼν δὲ, καὶ τοῖς ὀδοῦσι καὶ τοῖς ὄνυξι δήσας, οὐ μεταλαμβάνει τῆς θήρας, ἀλλὰ σῶον φυλάττει τῷ πέμψαντι, καὶ ἀλογίᾳ δουλεύων, γνωρίζει τὴν δεσποτείαν, καὶ οὐκ ἀνέχεται συνδιανείμασθαι τῷ κεκτημένῳ τὸ θήραμα. εἰ δὲ καὶ μεῖζον εὕροι θηρίον, καὶ τὴν οἰκείαν ὑπερβαῖνον ἰσχὺν, οἷον σύαγρον, ἢ ἄρκτον, ἤ τι τῶν τοιούτων, φυλάττεται μὲν τὴν χαυλιοδόντων τὴν προσβολὴν, μάχεται δὲ καρτερῶς. κατὰ δὲ τῶν νώτων συνεχῶς μεταβαίνων, πειρᾶται κατέχειν σὺν ἀσφαλείᾳ τὸ θήραμα, καὶ τῇ σφοδρᾷ διαμάχῃ, φυγεῖν οὐκ ἐᾷ. τῇ γὰρ συνεχεῖ προσβολῇ μεταστρέφεσθαι συνεχῶς τὸ θηρίον ἀναγκάζων, μένειν κατὰ χώραν ποιεῖ, καὶ τὸν θηρευτὴν ἀναμένειν. εἶτα ἐκεῖνος ἐπελθὼν, τοῖς ἀπὸ τῆς τέχνης ὅπλοις συνεργοῖς κεχρημένος, εὐπετῶς μάλα καὶ ῥᾳδίως λαμβάνει τὴν θήραν. Καὶ μή μοι τις τῶν δυσκόλων εἰς ἀντιλογίαν, τὸ λυττῶδες



Ministerio de Educación, Cultura y Deporte

τὰς κύνας ἐνταῦθα εἰς μέσον ἀγαγέτω, καὶ τοὺς λακτίζοντας ὄνους, καὶ τὰς δακνούσας καμήλους, καὶ τοὺς κερατίζοντας ταύρους. ὀλίγα γὰρ ἐκ πολλῶν τούτοις περιπίπτει τοῖς πάθεσι, καὶ λίαν ἀναγκαίως. γνωρίζεις γὰρ διὰ τούτου, ὡς οὐκ αὐτόματός σοι ἡ τούτων ὑπόκειται φύσις, ἀλλὰ τοῖς τοῦ ποιητοῦ νεύμασι πειθομένη. καὶ μαρτυρεῖ τὰ τῆς σῆς ἡγεμονίας ἀφηνιῶντα, κάμηλος δάκνουσα, καὶ ταῦρος κερατίζων, καὶ ὅσα τοιαῦτα. πάντα γὰρ ἂν ὁμοίως τὴν σὴν διέφυγε δεσποτείαν, εἰ μὴ ὁ θεῖος ἐκώλυε νόμος. ὥστε ἡ τούτων ἀταξία, τῆς εὐταξίας σοι γίνεται πρόξενος, καὶ τὰ τούτων σκιρτήματα, τὰ σὰ παύει σκιρτήματα. καὶ τυραννούμενος ὑπὸ τούτων, μανθάνεις μὴ τυραννεῖν, ἀλλὰ τὸν δεσπότην γνωρίζειν. τούτου χάριν καὶ θῆρας ἀγρίους, καὶ ἑρπετῶν ὁ ποιητὴς ἐδημιούργησε γένη, ὅπως σου τὸ νεανικὸν καὶ θρασὺ παιδαγωγήσῃ πρὸς ἀρετήν, καὶ φόβῳ τῶν θηρίων, εἰς χρείαν σε καταστήσῃ τῆς θείας ἐπικουρίας. τὸ γὰρ τούτων δέος ἐπικείμενον, καὶ νύττον σε διηνεκῶς, καὶ κεντοῦν, εἰς προσευχὴν διεγείρει, καὶ καλεῖν εἰς συμμαχίαν τὸν ἐπίκουρον ἀναγκάζει. αἰτεῖν δὲ τὴν ἐπικουρίαν ὑπὸ τῆς χρείας κελευόμενος, θεραπεύειν σπουδάζεις τὸν ἐπαμῦναι δυ-

Ministerio de Educación, Cultura y Deporte

νάμενον. προσεδρεύειν ἀναγκάζῃ, ἵνα τῶν ἐπι-
βούλων διαφύγῃς τὴν λώβην. ἀνανεύσας καὶ
ζητεῖς τὸν κηδεμόνα, τῶν λυπούντων τὴν ἀ-
παλλαγὴν ἐπιποθῶν. καὶ γίνεταί σοι οὗτος
ὁ φόβος ποδηγὸς πρὸς θεόν. ἵνα δὲ μὴ διηνε-
κῶς τῷ δέει τούτῳ βαλλόμενος, λυπηρὰν βιώ-
σῃς ζωὴν, πόῤῥω σου ταῦτα κατῴκισε. τῶν
μὲν γὰρ ἰοβόλων τὴν φύσιν, χηραμοῖς τισιν ἐγ-
κατέκρυψε, καὶ ταῖς ὑπὸ γῆν καταδύσεσιν
ἐνδιαιτᾶσθαι πεποίηκε, οὐκ ἐπιτρέψας αὐ-
τοῖς ἀδεῶς κατὰ τῶν ἀνθρώπων χωρεῖν, ἀλ-
λὰ κρύπτεσθαι μὲν ἀεὶ, φαίνεσθαι δὲ ὀλιγά-
κις κελεύσας, καὶ φαινόμενα φεύγειν τῶν ἀν-
θρώπων τὴν θέαν, καθάπερ τινῶν δεσποτῶν,
νομοθετήσας, λωβᾶσθαι δὲ μάλα ὀλίγοις καὶ
ὀλιγάκις, οὐκ ἄρχοντα μάχης, ἀλλ' ἀμυνό-
μενα. οὐδὲ γὰρ ἂν ἐδείσαμεν, εἰ παντελῶς ἀ-
πείρατος αὐτῶν ἡ ἡμετέρα φύσις μεμένηκε. τῶν
δὲ τετραπόδων θηρίων τὰ γένη λόχμας οἰ-
κεῖν, καὶ ῥαχίας καὶ χώρας αὐχμώδεις, καὶ
παντελῶς ἀνθρώπων ἐρήμους ὁ τοῦ παντὸς
προσέθηκε κηδεμών. εἰς νομὴν δὲ αὐτοῖς, και-
» ρὸν ἀπένειμε τὴν νύκτα. ἔθου γάρ φησι σκό-
» τος, καὶ ἐγένετο νύξ. ἐν αὐτῇ διελεύσεται πάν- Ψαλ. ργ
» τα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι
» τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ θεῷ βρῶ-

» σιν αὐτοῖς. ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθη-
« σαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθή-
» σονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον
» αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέ-
ρας. εἶτα θαυμάσας τὴν θείαν οἰκονομίαν
» ὁ προφήτης βοᾷ. ὡς ἐμεγαλύνθη τὰ ἔργα
» σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Ὅτι δὲ
μετὰ τὴν τῆς ἁμαρτίας παρείσδυσιν, καὶ ταῦ-
τα τῶν ἀνθρώπων ἠρνήσαντο δεσποτείαν, πάλαι δὲ ὑπέκειτο, καὶ τὴν δουλείαν ὑφίστα-
το, μαρτυρεῖ μὲν Ἀδὰμ ὁ γενάρχης, ἅπασι τὰς προσηγορίας θέμενος, καὶ μήτε δείσας, μή-
τε φυγὼν, μήτε βλάβην τινὰ παρὰ τούτων δεξάμενος. μαρτυρεῖ δὲ καὶ ὁ δεύτερος τῶν ἀνθρώπων φύλαρχος, ὁ παντὸς τοῦ γένους πατὴρ, ὁ μακάριος νῶε, οὐ μόνων τῶν ἡμέ-
ρων ζώων, ἀλλὰ καὶ τῶν λίαν ἀγριωτάτων νομεὺς ἐν τῇ κιβωτῷ γενόμενος. καὶ ἐνιαυτὸν μόνον καὶ ταῦτα κἀκεῖνα κατὰ ταὐτὸ ποι-
μάνας, καὶ τὰ σαρκοφάγα ποηφαγεῖν ἀ-
ναγκάσας. καὶ μαρτυρεῖ σῶς καὶ ἄρτιος φυλαχθεὶς, ὁ τῶν καθαρῶν ἀριθμός. μαρτυ-
ρεῖ δὲ καὶ ὁ μέγας Δανιὴλ, λέουσι μὲν θοίνη παραδοθεὶς, καταπλήξας δὲ αὐτοὺς τῇ τῆς ἀρετῆς ἀστραπῇ, καὶ τῷ τῆς θείας εἰκόνος χαρακτῆρι λίαν ἐκδειματώσας. ἐπειδὴ γὰρ

Ministerio de Educación, Cultura y Deporte

εἶδον ἐν τῇ εἰκόνι τοῦ ἀρχετύπου τὸ μίμημα λίαν ἀκραιφνὲς καὶ πεφυλαγμένον, ὡμολόγησαν τὴν δουλείαν, καὶ τὴν θηριωδίαν ἀπέθεντο, καὶ τὸν Ἀδὰμ ἐκεῖνον ὁρᾶν ὑπελάμβανον, τὸν πρὸ τῆς ἁμαρτίας ταῖς προσηγορίαις ἐπιθέντα. οὕτω τοῦ μακαρίου Παύλου τῶν ξύλων τὸν φάκελον τροφὴν προσφέροντος τῇ πυρᾷ, καὶ τὸ τοῦ ἀέρος κρυμῶδες κεραννύντος τῇ τοῦ πυρὸς ἐπικουρίᾳ, ὁ τοῖς ξύλοις ἐγκεκρυμμένος ἔχις, ἔφυγε μὲν τὸ πῦρ ὡς ὀλέθριον, ἥψατο δὲ τῆς ἀποστολικῆς χειρὸς, ὥσπερ ἀμυνόμενος ὑπὲρ ὧν ἔμελλε πείσεσθαι. οὐχ εὑρὼν δὲ τῆς ἁμαρτίας τὸ χαλαρὸν καὶ ὑπεῖκον, ἀλλὰ τῆς ἀρετῆς τὸ στεγανὸν ὅπλον καὶ ἄρραγες, ἀπεπήδησε μὲν παραυτίκα οἷόν τι βέλος κατ' ἀντιτύπων ἀκοντισθὲν, καὶ πρὸς τὸν ἀκοντίσαντα πάλιν ἐπανελθὸν, ἐχώρησε δὲ κατὰ τῆς πυρᾶς, ὥσπερ δίκας τῆς τόλμης ἑαυτὸν εἰσπραττόμενος, ὅτι κατὰ δεσποτικῆς χειρὸς ἐχρήσατο τῷ θυμῷ. τῶν θηρίων τοιγαροῦν τὰ γένη, ἱμάσι καὶ ῥάβδοις καὶ παιδαγωγικαῖς ἔοικε παιδείαις. αὗται δὲ τοῖς μὲν ἤδη τελειωθεῖσι, καὶ τὴν παιδικὴν ὑπεξελθοῦσιν ἡλικίαν, λίαν εἰσὶν εὐκαταφρόνητοι. τοῖς δὲ νηπίοις ἔτι τὰς φρένας, ἄγαν εἰσὶν ἀναγκαῖαι καὶ χρήσιμοι. καὶ κα- πράξ. κη'.

Ministerio de Educación, Cultura y Deporte

α΄. πρὸς Τιμ. α΄. » θάπερ δικαίῳ νόμος οὐ κεῖται, κατὰ τὸν θεῖον
» ἀπόστολον, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις,
» ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βε-
» βήλοις, πατραλῴαις, καὶ τοῖς τοιούτοις, οὕτω
καὶ τῶν θηρίων ἡ φύσις οἷόν τις παιδεία πρό-
κειται τοῖς ἀνθρώποις. τῶν μὲν εὐκόλως πρὸς
ἁμαρτίαν, ἐκδειματοῦσα καὶ δεδιττομένη.
ὑπὸ δὲ τῶν τῆς ἀρετῆς τροφίμων, καθάπερ
τις παιδιὰ καταφρονεῖται. κἀντεῦθεν τοι-
γαροῦν τὴν τοῦ θεοῦ κηδεμονίαν εὑρὼν, καὶ τὴν
παντοδαπὴν αὐτοῦ προμήθειαν καταμαθὼν,
παῦσαι μὲν ὦ φίλος συκοφαντῶν, ὕμνοις δὲ
τὸν εὐεργέτην ἀμείβου. πῶς μὲν γὰρ οὐκ ἄτο-
πον τὸν μὲν γραμματιστὴν ἐπαινεῖν, εἰς και-
ρὸν μαστιγοῦντα τοὺς παῖδας, καὶ τῇ ῥάβδῳ
τὴν ῥαθυμίαν ἐξελαύνοντα, καὶ τῷ ἱμάντι
παγίαν τῶν στοιχείων ἐντιθέντα τὴν μνήμην,
καὶ ἰατρῷ δὲ χάριν ὁμολογεῖν, οὐ μόνον ὅταν
σιτία καὶ ποτὰ προσφέρῃ τῷ κάμνοντι, ἀλ-
λ' ἡνίκα ἂν τέμνῃ καὶ καίῃ, καὶ πολεμῇ τῇ νό-
σῳ, καὶ τὴν ἐπὶ τὸ πρόσω φορὰν ἐπέχῃ, τὸν δὲ
θεὸν βλασφημεῖν μετὰ πλείονος σοφίας καὶ
μείζονος ἐπιμελείας τῶν ψυχῶν προμηθού-
μενον, καὶ τῇ χορηγίᾳ τῶν ἀγαθῶν, καὶ τῷ διὰ
τῶν μαστίγων τά τε στοιχεῖα τῆς ἀρετῆς ἐκπαι-
δεύοντα, καὶ τὴν νόσον τῆς κακίας πρόρρι-

ξον ἀναπαῦντα, καὶ ἀκραιφνῆ τῆς ψυχῆς τὴν
» ὑγείαν πραγματευόμενον, παῦσον κίνησιν τὴν Ψαλ.
» γλώσσης σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λγ'.
» λαλῆσαι βλασφημίαν. ἔκκλινον ἀπὸ κακοῦ,
» καὶ ποίησον ἀγαθόν. βλέπε τὴν περὶ σὲ κηδε-
μονίαν, καὶ τὸν προμηθούμενον ὕμνησον, ἵνα
σου τὸ εὔγνωμον περὶ τὰς χάριτας θεασάμε-
νος, καὶ νῦν ἐπικλύσῃ σε ταῖς εὐεργεσίαις, καὶ τῶν
ἐπηγγελμένων ἀγαθῶν ἀξιώσῃ, ὧν καὶ ἡμεῖς
τύχοιμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Ὅτι καὶ πλοῦτος καὶ πενία τῷ βίῳ χρήσιμοι. λόγος, ς'.

» Ολλάκις μὲν ἤδη μετὰ τοῦ προφή- Ψαλ. οδ
» του τοῖς παρανομοῦσιν εἶπον, μὴ
π » παρανομεῖτε, καὶ τοῖς ἁμαρτά-
» νουσι, μὴ ὑψοῦτε κέρας, μὴ ἐπαί-
» ρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ
» μὴ λαλῆτε κατὰ τοῦ θεοῦ ἀδικίαν, ἀκυβέρνη-
τον καταλιπεῖν αὐτὸν φάσκοντες ἣν πεποίη-
κε κτίσιν. ἀλλὰ τοὺς ἀγνώμονας, οὔτε οὐρα-
νοὶ πείθουσι διηγούμενοι τὴν δόξαν τοῦ θεοῦ, Ψαλ. ιη
οὔτε ἥλιος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ ὡς
νυμφίος, καὶ τῶν τερμάτων ἐφελκνούμενος καὶ

Ministerio de Educación, Cultura y Deporte

λαμπρότητα καὶ θερμότητα, οὔτε σελήνην ἀλλοιουμένην, καὶ τὰ μέτρα τοῦ χρόνου τεκταινομένην, οὔτε ἀστέρες ἀνίσχοντες καὶ δυόμενοι, καὶ τοὺς μὲν τῆς θαλάττης ἐξαναγοῦντες ὁδίτας, τοὺς δὲ γηπόνους διεγείροντες εἰς ἄμητον καὶ σπερμάτων καταβολήν, οὐχ ὡρῶν διαδοχή, οὐ τροπῶν μεταβολαί, οὐ νεφῶν ὠδῖνες εὔκαιροι καὶ κατάλληλοι, οὐ γῆς καὶ θαλάττης ὁμόνοια, οὐ ποταμῶν ῥεύματα, οὐ πηγῶν νάματα, οὐ καρπῶν ἀφθονία, οὐ ζώων ποικιλία καὶ χρεία, οὐ σώματος δημιουργία λογικῷ πρέπουσα, οὐ ψυχῆς ἀθανασία καὶ σοφία τὸ σῶμα κυβερνῶσα, οὐ τέχναι παντοδαπαὶ καὶ μυρίαι, οὐ τἀναγκαῖα μόνον, ἀλλὰ καὶ τὰ πόρρω τῆς χρείας πορίζουσαι, οὔτ᾽ ἄλλα ὅσα ὁ μεγαλόδωρος τῇ φύσει τῶν ἀνθρώπων ὁσημέραι προσφέρει. ἀλλὰ καὶ τούτων ἁπάντων ἀπολαύοντες, λυττῶσι καὶ μεμήνασι, καὶ τὴν πολλὴν ἐπιμέλειαν, ἀμέλειαν ὀνομάζουσι, καὶ τὸν πλοῦτον ἡμῖν καὶ τὴν πενίαν εἰς μέσον προβάλλονται, καὶ τῆς ἀνωμαλίας τοῦ βίου κατηγοροῦσι. φέρε τοίνυν τὸν σοφῶς ἰθύνοντα τὸ σκάφος τῆς οἰκουμένης ἐπίκουρον τοῦ λόγου λαβόντες, τοῖς τε προβλήμασιν ἀπαντήσωμεν, καὶ τὰς ἀντιθέσεις διαλύσωμεν, καὶ τὴν ὑπ᾽ αὐτῶν πλεκομένην κατηγορίαν, ἴσον

Ministerio de Educación, Cultura y Deporte

ἀρχῆς ἀποδείξωμεν. Τί δή ποτέ φασι, πλουτοῦσι μὲν τῶν ἀνθρώπων οἱ πονηρότατοι, καὶ μυρίοις πάντοθεν ἀγαθοῖς περιῤῥέονται, καὶ ἐξ οὐρίων τὸν βίον ὁδεύουσι, καὶ λαμβάνουσι τῆς ἀδικίας ἐφόδιον τοῦ πλούτου τὰ ῥεύματα. ὕλη γὰρ ἡ εὐπορία γίνεται τῇ τῆς πλεονεξίας φλογὶ, καὶ συνεργὸν τὸν πλοῦτον ἡ πονηρία λαμβάνουσα, μέγιστον ἀνάπτει πυρσόν. καὶ ἡ δύναμις τῇ βουλήσει προσγινομένη, ἀφόρητον ποιεῖ τὸ κακόν. οἱ δὲ τῆς ἀρετῆς φροντισταὶ, πενίᾳ συζῶσι, καὶ δυσκλείαις ταλαιπωροῦσι, καὶ αὐτῶν τῶν ἀναγκαίων σπανίζουσιν, αὐχμῶσι, ῥυπῶσιν, εἰς γῆν κεκύφασι, παροινοῦνται, προπηλακίζονται, μυρία ὅσα ὑπομένουσιν ἀλγεινά; οὐκοῦν πρῶτον αὐτοὺς ἐρωτήσωμεν, τίνα ὅρον εὐδαιμονίας εἶναί φασι, καὶ εἰ μὲν τὸν πλοῦτον φαῖεν, παραυτίκα τὸ ψεῦδος αὐτῶν διελέγξωμεν. πῶς γὰρ εὐδαιμονίας δημιουργὸς, ὁ τῆς ἀδικίας, ὥς φασι, συνεργός; εἰ γὰρ διὰ τούτου οἱ πονηρίᾳ συζῶντες, τὰς ὀφρῦς ἀνασπῶσι, καὶ τὰς γνάθους φυσῶσι, καὶ ἐφ' ἵππων καὶ ὀχημάτων φερόμενοι, σοβοῦσι τὴν ἀγορὰν, τοσοῦτον τοὺς ἄλλους ὑπερφρονοῦντες, ὅσον αὐτοὺς ὑπερορᾶσθαι προσήκει, ἀδικοῦσι, πλεονεκτοῦσι, τὰ ἀλλότρια σφετερίζονται, τῶν οὐ προσή-

Ministerio de Educación, Cultura y Deporte

κόντων ἐφίενται, τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἐν-
τρυφῶσι, τὰς τῶν πενήτων ἐμπορεύονται συμ-
φοράς, καὶ ταῦτα δρῶσι, τῇ δυνάμει τοῦ
πλούτου χρώμενοι συνεργῷ, πῶς ὁ πλοῦ-
τος ὅρος εὐδαιμονίας καὶ εὐκληρίας ὑπό-
θεσις; εἰ δὲ τὴν ἀρετὴν φαῖεν τῶν ἀγαθῶν εἶναι
τὸ κάλλιστον, καὶ τὸν ταύτης θερμὸν ἐραστὴν τε
καὶ σπουδαῖον ἐργάτην ἐν τῇ ἀκροτάτῃ τῶν
ἀγαθῶν εἶναι λέγοιεν κορυφῇ, τί δήποτε τὸν
πλοῦτον ἀποβλέπουσι, καὶ τοὺς πλουτοῦν-
τας ζηλωτοὺς ἀποκαλοῦσιν; ἐναντία γὰρ ἐκ
διαμέτρου χρημάτων εὐπορία, καὶ ἀρετῆς
κατορθωμάτων περιουσία. ἐξετάσωμεν δὲ,
κοινὴν ποιούμενοι ζήτησιν, ἐπίκουρον λαβόν-
τες τῆς ἀληθείας τὸ φῶς, ὁποῖα τῆς ἀρετῆς
τὰ εἴδη, καὶ πῶς ἄν τινι ῥᾳδίως ἡ τούτων κτῆ-
σις προσγένοιτο. οὐκοῦν ἀρετὴν μὲν, ὁριζόμε-
θα, φρόνησιν, σωφροσύνην, ἀνδρίαν, δικαιο-
σύνην, καὶ τὰ ἀπὸ τούτων γινόμενα, ἢ ἐν
τούτοις περιεχόμενα τῆς φιλοσοφίας μόρια.
ἐξετάσωμεν τοιγαροῦν, τί δηλοῖ τῶν εἰρη-
μένων ἕκαστον, καὶ ὁποίαν ἔχει διάνοιαν, ἢ ἑρ-
μηνείαν, ἢ δύναμιν. οὐκοῦν φρόνησις μὲν ἐστι
τοῦ ἐν ἡμῖν λογικοῦ ἡ ἐγρήγορσις, ὥσπερ ἀμέ-
λει παραφροσύνη καὶ ἀφροσύνη πάλιν, ἡ τού-
του μέθη ἐκ τῶν παθῶν γινομένη, καὶ οἷον

Ministerio de Educación, Cultura y Deporte

τις νεφέλη γινομένη καὶ πυκνουμένη, καὶ ἐπιπροσθοῦσα καὶ σκιωροῦσα αὐτὸν οὐκ ἐῶσα τὸ δέον τοῦ λογικοῦ. τοιγαροῦν, ὑγεία φρόνησις ὀνομάζεται. Καὶ σωφροσύνην δὲ πάλιν προσαγορεύομεν, τὴν τῶν παθῶν ἐλευθερίαν. σῶν γὰρ πάλιν καὶ ἄρτιον τοῦ λογικοῦ τὸ φρόνημα κεκτημένου, χαλᾶται μὲν τὰ πάθη, καὶ ὑπορρεῖ, καὶ σκεδάννυται, καὶ τὸ φλεγμαῖνον αὐτῶν διαλύεται, φέρεται δὲ εὐτάκτως ὑπὸ τῶν ἵππων ὁ ἡνίοχος νοῦς. τὴν τῶν παθῶν τοίνυν εὐταξίαν, καὶ τοῦ ἡνιόχου τὴν ὑγείαν, σωφροσύνην ὀνομάζομεν. Ἀνδρίαν δὲ καλοῦμεν, τὴν δικαίαν τοῦ θυμοειδοῦς κίνησιν. ὥσπερ αὖ πάλιν θρασύτητα, τὴν ἄδικόν τε καὶ ἄτακτον. Δικαιοσύνην δὲ, τὴν ὀρθὴν τῆς ψυχῆς ἡγεμονίαν, καὶ τῶν ὑπηκόων παθῶν τὴν συμμετρίαν, τοῦ γὰρ ἐπιθυμητικοῦ καὶ θυμοειδοῦς ἡ πρὸς τὸ λογικὸν εὐαρμοστία, καὶ ἡ πρὸς ἄλληλα εὐκρασία, τὴν τῆς δικαιοσύνης ἡμῖν πραγματεύεται κτῆσιν. Ἐπειδὴ τοίνυν τίνα τε τὰ τῆς ἀρετῆς μόρια μεμαθήκαμεν, καὶ ποίαν ἕκαστον ἔννοιαν ἔχει καὶ δύναμιν, φέρε πάλιν ζητήσωμεν, πῶς ταῦτα τὸν βουλόμενον δίκαια τὸν κατορθῶσαι, πλούτῳ χρώμενον συνεργῷ, ἢ τὴν πενίαν ἐπίκουρον εἰς τὴν κτῆσιν λαμβάνοντα. ἀλλ᾽ ὁ μὲν πλοῦτος πολλοῖς

Ministerio de Educación, Cultura y Deporte

ἔχων θορύβοις καὶ φροντίδας παντοδαπάς, καὶ τρικυμιῶν εἴδη μυρία, ἐπίβουλός ἐστιν ἀλλ' οὐκ ἐπίκουρος ἀρετῆς. πῶς γὰρ ἄν τις κατορθώσειε σωφροσύνην διηνεκῶς γαστριζόμενος, καὶ συμποσίοις προστετηκώς, καὶ συσσίτια κατασκευάζων, καὶ στιβάσι, καὶ τραπέζαις ἐνασχολούμενος, καὶ σιτοποιοῖς, καὶ ὀψοποιοῖς, καὶ ποπάνων δημιουργοῖς, καὶ οἴνοις ἀνθοσμίαις, καὶ φιάλαις, καὶ κύλικας, καὶ ἐκπωμάτων εἴδη παντοδαπά, καὶ ὄψων ποικιλίαν, ἐν τῇ διανοίᾳ περιφέρων, καὶ χανδὸν τὸν ἄκρατον πίνων, καὶ πέρα τοῦ μέτρου τὴν γαστέρα φορτίζων. καὶ τοῦ μὲν λογικοῦ τὴν ἐγρήγορσιν κατασβεννύς, αὔξων δὲ τῇ ὕλῃ τῶν παθῶν τὴν πυράν. καὶ τὴν μὲν ἀκόλαστον ἡδονὴν ἀεὶ πλεῖστον ἐξάπτων, τὸν δὲ θυμὸν κατὰ τῶν διακονούντων εἰς ἀκμὴν παραθήγων, καὶ δοῦλον τῶν παθῶν τὸν ἡγεμόνα ποιῶν, καὶ τῆς γαστρὸς ὑπηρέτην τὸν δεσπότην ἐργαζόμενος, καὶ εἰς ἀνδραποδώδεις κατασύρων ἐπιθυμίας τὸν τοῦ ζώου τὴν ἡγεμονίαν παρὰ τοῦ πεποιηκότος δεξάμενον, καὶ αἰχμάλωτον παραδιδοὺς τοῖς ὑπηκόοις τὸν ἄρχοντα, καὶ κατασύρεσθαι τὸν ἡνίοχον παρὰ τῶν ἵππων παρασκευάζων, καὶ τὸν κυβερνήτην τῶν οἰάκων οὐκ ἐπέχεσθαι, καὶ ἄπαν τὸ σκάφος ἰθύνειν, ἀλλὰ ταῖς τῶν παθῶν

τρικυμίαις

Ministerio de Educación, Cultura y Deporte

τεικυμίαις ἐνδιδόναι βασταζούσαις τὸ σκάφος, καὶ αὐτὸ ὑποβρύχιον ἐργαζομέναις; οὐκοῦν ὁ πλούσιος οὐ μόνον φρονήσεως ἄμοιρος, ἀλλὰ καὶ παντοδαπαῖς ἀκολασίαις προσκείμενος. περὶ γὰρ δικαιοσύνης τί δεῖ καὶ λέγειν. καὶ αὐτῶν τῶν ἀντιλεγόντων συνομολογούντων, ὡς ὁ τῆς πλείονος ἐφιέμενος κτήσεως, ἀδίκου καὶ δικαίου διαφορὰν οὐκ ἐθέλει γνωρίζειν, ἀλλὰ τοῖς τοιούτοις, ἄτακτα, ἀόριστα, ἀδιάκριτα πάντα. Ὅτι μὲν οὖν οὐ ῥᾴδιον πλούτῳ συνεργῷ κεχρημένοις κατορθῶσαι τὴν ἀρετὴν, καὶ τοῖς λίαν ἐριστικοῖς ῥᾴδιον ἐκ τῶν εἰρημένων καταμαθεῖν. Ὅτι δὲ ἡ πενία φιλοσοφίας ἐστὶ συνεργὸς, καὶ οὐδ' ἂν ἄλλος τις τὴν τελεωτάτην κατορθώσειεν ἀρετὴν, αὐτίκα μαθησόμεθα. πρῶτον μὲν γὰρ τῶν ἀναγκαίων ἡ σπάνις, ὑποκατακλίνεσθαι τῷ λογικῷ τὰ πάθη καταναγκάζει, καὶ φλεγμαίνειν οὐκ ἐᾷ, καὶ κατὰ τοῦ ἡνιόχου σκιρτᾶν, ὃ τοῖς τρυφῶσι καὶ γαστριζομένοις συμβαίνει. ἔπειτα, ἡ ψυχὴ τῶν περιττῶν φορτίων ἀπαλλαττομένη, καὶ τῶν ἔξωθεν φροντίδων ἐλευθέρα τυγχάνουσα, καὶ ἡσυχίας ἀπάσης καὶ γαλήνης ἀπολαύουσα, εἰς ἑαυτὴν νενευκυῖα, τό, τε οἰκεῖον ἀξίωμα καθορᾷ, καὶ τῶν ὑπηκόων παθῶν τὴν δουλείαν γνω-



Ministerio de Educación, Cultura y Deporte

εἴξῃ. καὶ τῆς ἡγεμονίας ἐχομένην, νομοθετεῖ τοῖς ὑπηκόοις τὴν εὐταξίαν, καὶ κολάζει δι' ἀλλήλων, ἀμφοτέρων τὴν ἀταξίαν. καὶ νῦν μὲν ἐπανίστησι τὴν ἐπιθυμίαν φλεγμαίνοντι τῷ θυμῷ, καὶ τὸ τούτου σύντονον, τῇ ταύτης μαλακότητι διαλύει. νῦν δὲ μετατίθησι κατὰ ταύτης τὴν τῆς τιμωρείας οἰκονομίαν, καὶ τῇ μάστιγι τοῦ θυμοῦ συστέλλει ταύτης τὴν ἐπὶ τὸ πρόσω φοράν. συνεργοῦσι δὲ πάλιν τῷ λογικῷ πρὸς τὴν τῶν παθῶν εὐταξίαν οἱ πόνοι, ἡ γὰρ τῆς ἐνδείας ἀνάγκη, πρὸς φιλοπονίαν ἐγείρει, καὶ τῶν μὲν ἀναγκαίων ἡ σπάνις προσφέρει τοὺς πόνους, ἡ δὲ τῶν πόνων ταλαιπωρία τὰ πάθη μαραίνουσα, φλεγμαίνειν οὐκ ἐᾷ, δαπανῶσα τὰς ὕλας. τί τοίνυν ἀχαριστεῖς τοῖς δικαίοις τὴν πενίαν συνεζευγμένην ὁρῶν, καὶ τὸ τῆς ἀρετῆς ὄργανον διαβάλλεις; ὅμοιον ποιῶν, ὥσπερ ἂν εἴ τις θρόνους μὲν ἐπαινῶν, καὶ βάθρα, καὶ κλίνας, καὶ θύρας, καὶ οἰκοδομημάτων κάλλη, τὰ δὲ τοῦ οἰκοδόμου καὶ τέκτονος ὄργανα σκώπτων καὶ μεμφόμενος, τῷ σκεπάρνῳ, καὶ τῷ τερέτρῳ, καὶ τοῖς ἄλλοις, δι' ὧν ἐκείνων ἕκαστον γίνεται. ὅτι δὲ ῥᾷον διὰ πενίας μᾶλλον, ἢ πλούτου τὴν ἀρετὴν κατορθῶσαι, μαρτυροῦσι μὲν τῆς εὐσεβείας οἱ τρόφιμοι, μαρτυροῦσι δὲ καὶ οἱ παρ' Ἑλ-

Ministerio de Educación, Cultura y Deporte

λησι σοφίας ἐρασταὶ, καὶ τῷ τῆς φύσεως νόμῳ διδασκάλῳ χρησάμενοι. διὰ πενίας γὰρ ἅπαντες τὴν ἠθικὴν κατόρθωσαν ἀρετὴν, καὶ ταῦτα τῶν θείων οὐκ ἐπακούσαντες λο-
„ γίων, τῶν ἀντικρυς βοώντων, ἐὰν μή τις ἀπο-
„ τάξηται πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύ- Λουκ. ιδ
„ ναταί μου εἶναι μαθητής, ἀλλ᾽ ὅμως ἤρκεσεν αὐτοῖς εἰς διδασκαλίαν ἡ φύσις. καὶ γὰρ ὁ θεῖος λόγος οὐ καινὰ προσφέρει παιδεύματα, ἀλλὰ τῶν τῆς φύσεως νόμων ἀναμιμνήσκει, καὶ ἃ διέφθαρκεν ὁ χρόνος διὰ τὴν τῶν ἀνθρώπων ῥαστώνην τῆς φύσεως γράμματα, ταῦτα ὁ τῆς φύσεως ποιητὴς διὰ τῶν οἰκείων ἀναγράφει κηρύκων. εἰ τοίνυν καὶ Σωκράτης, καὶ Διογένης, καὶ Ἀνάξαρχος, καὶ οἱ τούτοις παραπλήσιοι, τῆς ἠθικῆς ἀρετῆς τὴν κτῆσιν ποθήσαντες, τοῦ πλούτου τὴν κτῆσιν ἀπώσαντο, καὶ πενίαν τῆς ἀγαθῆς κτήσεως ἔλαβον συνεργὸν, καὶ ταῦτα τυφλώττοντες περὶ τὴν τῶν δογμάτων ἀλήθειαν, καὶ βασιλείαν οὐρανῶν οὐ προσμένοντες, καὶ τὸ ὂν ἀγαθὸν οὐκ εἰδότες, τί τῆς πενίας ὦ φιλότης κατηγορεῖς, δι᾽ ἣν εὔπορος ὁ τῆς ἀρετῆς δρόμος, καὶ ἡ τραχεῖα καὶ προσάντης ὁδὸς, εὔπετὴς καὶ ῥαδία τοῖς ἀνύουσι γίνεται; καὶ ταῦτα φαμὲν, οὐ τοῦ πλούτου κατηγοροῦντες, οὔτε κακῷ τὸ κα-



Ministerio de Educación, Cultura y Deporte

κὸν ἰώμενοι, εἰ γὰρ πονηρὸς ὁ πλοῦτος, ἡ βλασφημία κατὰ τοῦ δεδωκότος χωρεῖ. ἀλλὰ πλοῦτον μὲν καὶ πενίαν, οἷον ὕλας τινὰς, ἢ ὄργανα τοῖς ἀνθρώποις παρὰ τοῦ πεποιηκότος προσκεῖσθαι φαμὲν, διὰ δὲ τούτων τοὺς ἀνθρώπους οἷόν τινας δημιουργοὺς, ἢ τὸ τῆς ἀρετῆς ἄγαλμα διαπλάττειν, ἢ τὸν τῆς κακίας ἐκτυποῦν ἀνδριάντα. ἀλλὰ διὰ μὲν πλούτου, μόλις ἂν ὀλίγα τῆς ἀρετῆς εἰς κάλλος διαγλύψεται μόρια, διὰ δὲ πενίας, καὶ πολλοῖς πάντα δημιουργεῖν ἐστι δυνατόν. μὴ τοίνυν σκώπτωμεν τὴν πενίαν τῆς ἀρετῆς τὴν μητέρα, μήτε μὴν τὸν πλοῦτον διαβάλλωμεν, ἀλλὰ τῶν οὐκ εἰς δέον τούτῳ κεχρημένων κατηγορήσωμεν. Ἐπεὶ καὶ ὁ σίδηρος ἐδόθη μὲν τοῖς ἀνθρώποις, οἰκοδομίας, καὶ γεωπονίας, καὶ ναυτιλίας συνεργὸς, καὶ τῶν ἄλλων τεχνῶν τῶν κατὰ τὸν βίον ἐπίκουρος. οἱ δὲ κατ' ἀλλήλων λυττῶντες, οὐκ ἐῶσι τοῦτον μόνον ταῖς ἀναγκαίαις χρείαις ὑπηρετεῖν, ἀλλὰ καὶ τὴν ἀλλήλων σφαγὴν δι' αὐτοῦ μηχανῶνται. οὐ μὴν διὰ τοῦτο τοῦ σιδήρου κατηγοροῦμεν, ἀλλὰ τῶν κακῶς αὐτῷ χρωμένων τὴν πονηρίαν διαβάλλομεν. Οὕτως ἡ τοῦ οἴνου χρῆσις, ἐδόθη μὲν τοῖς ἀνθρώποις εἰς εὐφροσύνην, ἀλλ' οὐ παραφροσύνην καρδίας, οἱ δὲ τὴν ἀμετρίαν τιμῶν-

Ministerio de Educación, Cultura y Deporte

τες, καὶ οἰνοφλυγίᾳ προστετηκότες, τὸν εὐφροσύνης γεννήτορα, παραφροσύνης ποιοῦσι πατέρα. ἀλλ' ἡμεῖς τῇ δικαίᾳ ψήφῳ δικάζοντες, τοὺς μὲν κακῶς τῷ θείῳ δώρῳ κεχρημένους, οἰνόφλυγας καὶ μεθύσους, καὶ πονηροὺς ἀποκαλοῦμεν, τὸν δὲ οἶνον ὡς θεόσδοτον δῶρον θαυμάζομεν. Οὕτω τοιγαροῦν τῷ πλούτῳ καὶ τοῖς χρωμένοις δικάζομεν, καὶ τὸν μὲν, τῆς κατηγορίας ἐξέλωμεν, τοὺς δὲ, εἰ μὲν οἰκονόμοι τούτου δίκαιοι γένοιντο, ταῖς μεγάλαις στεφανώσωμεν εὐφημίαις, εἰ δὲ τὴν τάξιν ἀμείψαντες, δοῦλοι τοῦ πλούτου φανεῖεν, πᾶν τὸ κελευόμενον δρῶντες, καὶ πᾶσαν πονηρὰν διακονίαν μετιόντες, τὴν πονηρίας γραφὴν κατ' αὐτῶν εἰσενέγκωμεν, ὅτι δεσπόται χειροτονηθέντες, τὴν ἡγεμονίαν διέφθειραν, καὶ τὴν δουλείαν τῆς δεσποτείας ἠλλάξαντο.

Ἀλλ' ἴσως ἄν τις εἴποι τῶν μόνον τοῖς καλῶς λεγομένοις ἀντιλέγειν ἐπισταμένων, τίνος χάριν οὐ πᾶσιν ἀνθρώποις τοῦ πλούτου τὴν κτῆσιν ὁ ποιητὴς ἐδωρήσατο, ἀλλὰ τοῖς μὲν, πλοῦτον συνέζευξε, τοῖς δὲ πενίαν συνεκλήρωσε, καὶ πολλῆς ἀνωμαλίας πλήρη τὸν βίον πεποίηκεν; ὃν ἡδέως ἂν ἐροίμην, τί δήποτε τοῖς τοῦ σώματος μέλεσιν, οὐ τὴν αὐτὴν ἅπασι δέδωκεν ὁ δημιουργήσας ἐνέργειαν, ἀλλ' ὁ



Ministerio de Educación, Cultura y Deporte

φθαλμοῖς μὲν χρωμάτων καὶ σχημάτων διάκρισιν ἐνεχείρισεν, ἀκοαῖς δὲ φωνῶν καὶ ψόφων εἰδέναι διαφοράν, ταῖς δὲ ῥίναις ἀτμῶν ἀντιλαμβάνεσθαι, καὶ τοῦ ἡδέος τὸ δυσῶδες διακρίνειν, τὴν δὲ γλῶτταν ταῖς τῶν γεύσεων ποιότησι δικάζειν, καὶ γλυκέος καὶ ὀξέος, δριμέος τε καὶ πικροῦ καὶ πιμελώδους τὸ διάφορον εἰδέναι. καὶ τοῖς μὲν ποσὶ τὴν βαδιστικὴν δέδωκε δύναμιν, ταῖς δὲ χερσὶ τὴν παντοδαπὴν ἀπένειμεν ἐργασίαν. καὶ γαστέρα μὲν τροφῆς δοχεῖον, ἧπαρ δὲ τροφῆς καθαρτήριον, ἐγκέφαλον δὲ μυελῶν θησαυρόν, πηγὴν δὲ θερμότητος τὴν καρδίαν. καὶ ταῖς μὲν ἀρτηρίαις ἐναπέκλεισε τὸ πνεῦμα, τὰς δὲ φλέβας ἀγωγοὺς ἀπέφηνεν αἵματος, καὶ ἄλλῳ ἄλλην ἐνέργειαν ἀπένειμε μορίῳ. καὶ μὴν ἅπαντα τὰ εἰρημένα, καὶ ὅσα σεσίγηται, εἰς ἑνὸς σώματος συντελεῖ πληρότητα, ἀλλ' ὅμως ἑκαστόν τι καὶ ἴδιον πεπίστευται, καὶ τῷ κοινῷ συντελεῖ. ὄψις μὲν γάρ, ποδηγεῖ τοὺς πόδας, καὶ τὸ λεῖον αὐτοῖς ὑποδείκνυσι, καὶ τῶν τραχυτέρων ἀποστρέφει χωρίων, φέρεται δὲ ὑπὸ ποδῶν. καὶ ἀκοὴ δὲ κτύπου δεχομένη, διεγείρει τὴν ὄψιν εἰς θεωρίαν, διὰ δὲ τῆς ὄψεως μανθάνει τῶν κτύπων τοὺς ποιητάς. καὶ ἵνα τῇ ἀποστολικῇ μαρτυρίᾳ τοὺς εἰρημένους βεβαιώ

" σωμεν λόγοις, οὐ δύναται ὀφθαλμὸς εἰπεῖν ά. Κορ.
" τῇ χειρί, χρείαν σου οὐκ ἔχω. ἢ πάλιν ἡ κε- β'.
" φαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω, ἀλ-
" λὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ
" σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά
" ἐστι. καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι, τού-
" τοις μᾶλλον περισσοτέραν τιμὴν περιτίθε-
" μεν. καὶ οὐδεὶς ἐδυσχέρανε πώποτε, διάφορον
βλέπων ἐν τοῖς μέλεσι τὴν ἐνέργειαν, εἰ μὴ
κομιδῇ παραπαίοι, ἀλλὰ καὶ στέργει, καὶ θαυ-
μάζει τὸν ποιητήν, οὕτω σοφῶς ἕκαστα δια-
κείναντα, καὶ ἑκάστῳ τὴν ἁρμόττουσαν ἀπο-
νείμαντα χρείαν, καὶ τὴν ἰδίαν, κοινὴν ποιη-
σάμενον. οὔτε γὰρ ὄψις μόνη τῶν ὁρατῶν ἀπο-
λαύει, οὔτε ἀκοὴ τῶν ἀκουστῶν, οὔτε τὸ στόμα τῶν
γεύσεων, οὔτε ἡ ῥὶν τῶν ὀσφρήσεων, οὔτε οἱ πό-
δες βαδίσεως, οὔτε ἐνεργείας αἱ χεῖρες, οὔτε
τροφῆς ἡ γαστὴρ, οὔτε θερμότητος ἡ καρδία, οὔ-
τε αἰσθήσεως ὁ ἐγκέφαλος, ἀλλ' ἰδιάζουσαν
μὲν ἕκαστον ἔχει τὴν ἐνέργειαν, τῷ δὲ κοινῷ συ-
νεισφέρει τὴν ὠφέλειαν. καὶ τὸ μὲν, ἅπαν θερ-
μαίνει τὸ σῶμα. τὸ δὲ, ἅπαν τρέφει. τὸ δὲ, ἄλ-
λον τινὰ φόρον προσφέρει τῷ ζώῳ. καὶ τὸ ποι-
κίλον τῆς ἐνεργείας, εἰς ἅπαντα μὲν τὰ τοῦ
σώματος μεμέρισται μόρια, ἀπολαύει δὲ ἀλ-
λήλων πάντα, καὶ γίνεται ἡ χρεία κοινή. καὶ



Ministerio de Educación, Cultura y Deporte

οὔτε ἡ ἀκοὴ ἀγανακτεῖ μὴ ὁρῶσα, οὔτε ὀφθαλμὸς δυσχεραίνει τῷ μὴ ἀκούειν, ἀλλ' ἕκαστον στέργει τοὺς ὅρους τῆς φύσεως, καὶ τὴν εἰσφορὰν ἀποδίδωσιν, ἣν ἐξ ἀρχῆς φέρειν ἐτάχθη. σὺ δὲ λίαν ἀγανακτεῖς, ὅτι μὴ πάντες οἱ ἄνθρωποι τοῖς τοῦ πλούτου ῥεύμασι περικλύζονται, καὶ οἰκίας οἰκοῦσι λαμπρὰς, καὶ χιτώνων καὶ ἐφεστρίδων περιφανείᾳ κοσμοῦσι τὸ σῶμα. καὶ ἐφ' ἵππων καὶ ἡμιόνων ὀχούμενοι, πολλοὺς ἔχουσι τοὺς ἡγουμένους, τοὺς ἑπομένους, καὶ θεραπόντων ἑσμὸν ταῖς θεραπείαις διακονοῦντα, καὶ κλίνας χρυσοπάστους, καὶ στρωμνὴν μαλακὴν καὶ διαῤῥέουσαν, καὶ ὀψοποιῶν μαγγανείας, καὶ ἡδονῶν ἐπινοίας, καὶ χλιδὴν πανταχόθεν προσφερομένην, καὶ τὰς ἡδονὰς ἐξάπτουσαν. καὶ πῶς ἄν τις ἐκτήσατο σωφροσύνην τοσούτους αὐτῷ πολεμίους ἐγείρων; ἐξ ἁπάντων αὐτὴν τῶν τῆς ψυχῆς καὶ τοῦ σώματος ἐξελαύνων μορίων; πῶς δ' ἂν φρονήσεως ἐν ἕξει γένοιτ' ἂν ἄνθρωπος, τοσούτοις φορτίοις τὸ λογικὸν καταχωννύς; καὶ τί δεῖ λέγειν σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ἀνδρείαν, καὶ φρόνησιν, ὧν οὐδὲ τὰς προσηγορίας ἀκούειν ἀνέχονται; πῶς ἂν ὁ πλοῦτος ὑφ' ἁπάντων ἐκτήθη, πάντων ὁμοτιμίᾳ τετιμημένων; πῶς δ' ἂν ἰσονομίας οὔσης, καὶ χρη-

μάτων ὁμοίως ἅπαντες εὐποροῦντες, τῶν ἀναγκαίων ἀπήλαυσαν; ἢ τίς ἂν διακονεῖν ἠνέσχετο, τὴν αὐτὴν ἔχων περιουσίαν; τίς ἐσχάρᾳ προσεδρεύειν, καὶ ὄψα κατασκευάζειν, οὐκ ἀναγκαζούσης ἐνδείας; τίς ἀρτοποιεῖν, ἢ μύλῃ τὸν σῖτον ἀλήθειν, καὶ διακρίνειν κοσκίνῳ τὰ ἄλευρα, καὶ μύττειν, καὶ πέττειν, καὶ πυρὸς ἀνέχεσθαι; τίς δ᾽ ἂν βοῦς ἀροτῆρας ὑπὸ ζυγὸν ἤγαγε, καὶ γῆν ἐνεούργησε, καὶ σπέρματα κατέβαλε, καὶ βλαστήσαντα καὶ ἀκμάσαντα τεμὼν, τῇ ἅλῳ παρέδωκε, καὶ τῶν ἀχύρων ἀπέκρινε, μὴ τῆς πενίας εἰς τοὺς πόνους ὠθούσης; τίς ἂν λιθοτομίαις προσήδρευε, καὶ τῶν λίθων τὰς ὕλας ταῖς οἰκοδομίαις προσήνεγκε, καὶ εὖ καὶ καλῶς συναρμόσας τὰς οἰκίας ἐπεκτήσατο, μὴ τῆς ἐνδείας νυττούσης, καὶ πρὸς ἐργασίαν κινούσης; τίς ἂν ναυτικὴν μετελήλυθε τέχνην; τίς δὲ κυβερνητικὴν ἐμπορείαν, καὶ ναυτικὴν φιλοπονίαν; τίς ὑφαντικὴν καὶ σκυτοτομικήν; τίς κεραμεικὴν, καὶ χαλκευτικήν; εἰ γὰρ ἴση ἦν τῶν χρημάτων ἡ κτῆσις, οὐκ εἴα διακονεῖν ἑτέρῳ τὸν ἕτερον, ἀλλὰ δυοῖν θάτερον ἀνάγκη, ἢ τῶν ἀνθρώπων ἕκαστος πᾶσαν μετῄει διὰ τὴν χρείαν τέχνην, ἢ ἅπαντες ἂν κατὰ ταυτὸ τῇ σπάνει τῶν ἀναγκαίων διεφθάρημεν. ὅτι δὲ πάσαις ἀνθρώ-

Ministerio de Educación, Cultura y Deporte

πον ἕνα μετελθεῖν τέχνας τῶν ἀδυνάτων, οὐ δεῖ λόγων, μαρτυρούσης τῆς πείρας, δύο γὰρ εἴ τις κατὰ ταὐτὸ μαθεῖν ἐθελήσειεν, ἀμφοτέρας ἀπόλλυσι, θατέρας τῇ ἑτέρᾳ λυμαινομένης. εἰς ἄμφω γὰρ ἡ διάνοια μεριζομένη, καὶ ἀμφοτέρων ἐπιλαβέσθαι μὴ δυναμένη, ἵνα μὲν ἐξ ἀμφοῖν ἐκμάττεται μόριον, ἀκριβῆ δὲ καὶ τελείαν οὐδὲ μιᾶς τὴν γνῶσιν εἰσδέχεται. ὑπελείπετο τοίνυν ἅπαντας πανωλεθρίαν ὑπομεῖναι, διὰ τὴν ἴσην τῶν χρημάτων δι' ἀπορίαν, καὶ συμβῆναι ταὐτὸν τοῖς τῷ κόρῳ τῶν σιτίων τὴν ἡδονὴν ἀφανίζουσι, καὶ γὰρ ἐκεῖνοι τῇ συνεχείᾳ τῶν ὄψων τὰς ὀρέξεις ἀμβλύνουσι, καὶ οὗτοι διὰ τὸν τῶν χρημάτων ἔρωτα, καὶ τῶν ἀναγκαίων ἐνδεεῖς γίνεσθαι ποθοῦσι, καὶ τὸν μετὰ χρημάτων ὄλεθρον τῆς μετὰ πενίας προτιμῶσι ζωῆς. ἀλλὰ τούτους μὲν ληρεῖν καταλείψομεν, ἡμεῖς δὲ κἀνταῦθα τὴν τοῦ θεοῦ κηδεμονίαν ἐπιδείξωμεν, καὶ τὴν καλουμένην παρ᾽ αὐτῶν ἀνωμαλίαν, ζωῆς θυμήρους ἀφορμὴν, καὶ πολιτείας ἀρίστης ὑπόθεσιν ἀποφήνωμεν. ὁ γὰρ τῶν ὅλων πρύτανις ἰσότητα κἀνταῦθα πρυτανεύων δειχθήσεται. πρῶτον μὲν γὰρ κοινὸν ἅπασι τὴν γῆν δέδωκεν ἔδαφος, κοινὴν ἑστίαν, καὶ τροφὸν, καὶ μητέρα, καὶ τάφον, μίαν διαπλάσεως ἀφορ-

Ministerio de Educación, Cultura y Deporte

μίαν, τὸν χοῦν τὸν προπάτορα. κοινὸν ὄροφον
τὸν οὐρανὸν ἐξέτεινεν. ἥλιον, καὶ σελήνην, καὶ
τοὺς ἄλλους φωστῆρας, οἱονεί τινας λαμπαδη-
φόρους κοινοὺς ἐδωρήσατο. ἀέρα μέσον ἐξέχεε,
κοινόν τινα καὶ τοῦτον πλοῦτον πᾶσιν ὁμοίως
προτεθεικώς, οὔτε γὰρ σπῶσιν αὐτοῦ πλέον
τῶν πενήτων οἱ πλούσιοι, ἀλλὰ τὴν ἴσην μοῖ-
ραν κἀνταῦθα ἡ πενία λαμβάνει, μᾶλλον
δὲ πλείονα, πλείους γοῦν ταύτης οἱ φρόνιμοι,
καὶ τὰς αἰσθήσεις ἐρρωμενεστέρας ἔχοντες, καὶ
τῆς περιττῶν φορτίων ἀπηλλαγμένας. πο-
ταμοὶ καὶ πηγαί, κοινὰ πάλιν ἅπασιν ἀνα-
βλύζουσι νάματα. καὶ τὰ σώματα δὲ πάλιν,
ἴσα καὶ τούτοις κἀκείνοις ἐδημιούργησε, μᾶλ-
λον δὲ κἀνταῦθα πλεονεκτοῦσιν οἱ πένητες,
» ἐρρωμενέστερα γοῦν τὰ τούτων, ἔνδεια γὰρ μήτηρ
ὑγείας, κατὰ τὸν σοφώτατον τῶν ἰατρῶν. καὶ
» πόνοι, καὶ γυμνάσια, συνεργοὶ ὑγείας, κα-
τὰ τὸν αὐτὸν τοῦτον διδάσκαλον. καὶ αἱ ψυ-
χαὶ δὲ καὶ τούτων κἀκείνων, τὴν αὐτὴν φύ-
σιν ἀνέχουσι. μία κινήσεως ἀφορμὴ καὶ τού-
τοις κἀκείνοις, μιᾶς δημιουργίας ὁ γάμος
ἀπόδειξις, ἴσοι τῆς κινήσεως οἱ μῆνες, οὐ γὰρ
αἰδεῖται τῶν χρημάτων τὴν περιουσίαν ὁ
χρόνος, οὐδ' ἀνέχεται τὸν πλοῦτον αἰσχυνό-
μενος, πρὸ τῶν κειμένων ὅρων παραπέμψαι τὸ

βρέφος, ἢ πλείονα χρόνον ἐγκαθεῖρξαι τῇ μήτρᾳ, ἀλλ᾽ ὁμοίως καὶ τὸ τοῦ πλουτοῦντος καὶ τὸ τοῦ πενομένου προέρχεται. ὠδῖνες ἰσοῦνται καὶ τούτου κἀκείνου, μᾶλλον δέ, εἰ τῇ πείρᾳ πιστεύεις, ῥᾴων ὁ τόκος τῆς πενομένης, καὶ μείους ὠδῖνες, ἡ γὰρ περὶ τὸ πονεῖν συνήθεια δωρεῖται τὴν εὐκολίαν. διὸ καὶ ταῖς τρυφώσαις ἰατρῶν παῖδες ἐν ταῖς πρὸ τῆς κυήσεως ἡμέραις ἀναγκαῖον ἐπιφέρουσι πόνον. οὐκοῦν ὁμοίως μὲν κύουσιν, οὐχ ὁμοίως δὲ τίκτουσιν, ἀλλ᾽ ἔνθα μὲν ἡ τοῦ πλούτου παραμυθία, πλείων ἡ δυσκολία. ἔνθα δὲ τῶν ἀναγκαίων ἡ ἔνδεια, ἡ φύσις ἐπικουρεῖ τῇ ἀσθενείᾳ ψυχαγωγοῦσα. μᾶλλον δέ, ὁ τῆς φύσεως ποιητὴς οὕτω κεράσας τὰ ἄνισα, καὶ τῇ μὲν ἐξ εὐπραγίας γινομένῃ περὶ τὸν τόκον δυσκολίᾳ, τὴν ἐκ τῶν ἰατρῶν καὶ τῶν φαρμάκων παραμυθίαν προσφέρων, τῇ δὲ διὰ τὴν πενίαν τῆς ἐπικουρίας ταύτης σπανιζούσῃ, παρέχων τῆς φύσεως τὴν βοήθειαν. βλέπε τοῦ δικαίου κριτοῦ τὰ ζυγά, καὶ κίνησον εἰς εὐφημίαν τὴν γλῶτταν. βλέπε δὲ καὶ τὰ τικτόμενα, ὁμοίως γυμνὰ προϊόντα, οὐ γὰρ τὸ τοῦ πλουσίου βρέφος ἁλουργίδι περίκειται, οὐδὲ τὸ τοῦ πένητος ῥάκια περιβέβληται, ἀλλ᾽ ἄμφω γυμνὰ προέρχεται, τοῦ δημιουργοῦ κηρύσσοντος τὴν ἰσότη-

Ministerio de Educación, Cultura y Deporte

τα. ὁμοίως πᾶσι τὸν ἀέρα, ὁμοίως ἕλκει τὴν θηλήν. οὐχ ἕτερον γάλακτι ὁ τοῦ πένητος τρέφεται, ἕτερον δὲ τῷ τοῦ πλουσίου προσφέρεται, ἀλλ' ἴσης καὶ τοῦτο κἀκεῖνο καὶ τῆς αὐτῆς ἀπολαύει τροφῆς. Οὐ μόνον δὲ τὴν εἰς τὸν βίον εἴσοδον μίαν καὶ τὴν αὐτὴν ἔχομεν ἅπαντες, ἀλλὰ καὶ τὴν ἔξοδον ἴσην, εἰς γὰρ ἡμᾶς ἀποδέχεται θάνατος. οὐ γὰρ φοβεῖται τὸν πλοῦτον ὁ θάνατος, οὐδὲ δειμαίνει τοὺς δορυφόρους, οὐ φείδεται τῆς ἁλουργίδος, καταφρονεῖ καὶ τειχῶν καὶ πύργων καὶ βασιλείων, καὶ ἐντὸς τῶν θαλάμων γίνεται, οὐκ ἐλεεῖ δακρύοντα, οὐκ οἰκτείρει παρακαλοῦντα, οὐ διαφθείρεται δώροις, τῆς ἰατρικῆς οὐκ ἀνέχεται τέχνης, ἀργὰς δείκνυσι τὰς τῶν φαρμάκων δυνάμεις, οὐδὲ ἐπισκῆψαι πολλάκις συγχωρεῖ, καὶ δῆλον ποιῆσαι τὸν τοῦ κλήρου διάδοχον, ἀλλ' ἁρπάζει, σύρει, χωρίζει τοῦ σώματος τὴν ψυχήν. καὶ τὸ τέλος τοιγαροῦν κοινὸν ἔχουσιν οἱ πλούτῳ κομῶντες, καὶ οἱ πενίᾳ συζῶντες, καὶ μετὰ τὸ τέλος δὲ καὶ τὴν ἐντεῦθεν ἐκδημίαν, ὁμοίως γὰρ σηπεδὼν ἕπεται, καὶ ἰχὼρ καταρρεῖ, καὶ σκώληκες ἀποτίκτονται, καὶ τὸ βλοσυρὸν ὄμμα σβέννυταί τε καὶ διατήκεται. καὶ τὸ ἀκόρεστον στόμα, καὶ ἡ λυττῶσα γλῶσσα, σκωλήκων γίνεται προανάλωμα. καὶ ὁ γαυριῶν

Ministerio de Educación, Cultura y Deporte

τράχηλος οὐ κάμπτεται μόνον, ἀλλὰ καὶ δια-
λύεται. καὶ ἡ φυσωμένη γνάθος, οὐ συστέλ-
λεται μόνον, ἀλλὰ καὶ εἰς ὀλίγην κόνιν συνί-
σταται. καὶ τὸ τῆς ὡραιότητος ἄνθος μαραίνεται,
καὶ φροῦδον παντάπασι γίνεται. καὶ οἱ γρά-
φοντες τὴν πονηρίαν δάκτυλοι, κεῖνται τῆς
ἁρμονίας παντελῶς ἐσκεδασμένοι. οὐκοῦν
ταῦτα μὲν πάντα κοινὰ καὶ πλουσίοις καὶ
πένησι πρόκειται. ὑπολείπεται τοίνυν καὶ πε-
νία καὶ πλοῦτος, ἃ σὺ μὲν νομίζεις ἴδια, δεί-
ξει δὲ ὁ λόγος σὺν θεῷ φάναι κοινά, ὁμοίως τε
τῆς τῶν πλουσίων περιουσίας οἱ πενίᾳ συ-
ζῶντες τυγχάνουσιν, ὁ γὰρ τούτων κἀκείνων
δημιουργός, τέχναις παντοδαπαῖς τὴν πενίαν
ἐκόσμησε, δι' ἃς περὶ τὰς τῶν πενήτων θύρας
φοιτῶσιν οἱ πλούσιοι, καὶ χρήματα διδόντες,
τὰς ἀναγκαίας παρ' αὐτῶν κομίζονται χρείας.
καὶ πλειόνων διὰ τὸν πλοῦτον δεόμενοι, πά-
σης σπανίζουσι χρείας. καὶ παρὰ μὲν τούτων,
ἄρτους. παρὰ δὲ ἐκείνων, ὄψα ὠνοῦνται. ὑπο-
δήματα ἕτεροι τοῖς ποσὶ προσαρμόττουσιν.
ἄλλοι χιτῶνας καὶ ἀμπεχόνας καὶ ἐφεστρί-
δας κατασκευάζουσιν. ἄλλοι τάπητας καὶ
στρώματα καὶ περιβόλαια. καὶ οἱ μὲν, οἰκίας,
καὶ θρόνους. οἱ δὲ, λαχάνων γένη, καὶ ὀπωρῶν
εἴδη μυρία. οἱ δὲ, πυρούς, καὶ κριθάς, καὶ τὰ

Ministerio de Educación, Cultura y Deporte

ἐκ γεωργίας ἀγαθαί, ὧν δίχα διαβιῶναι, τῶν ἀδυνάτων, κἂν ἔχῃ τις τὸν Κροίσου καὶ Μίδου χρυσόν. τῷ δὲ πένητι, καὶ ἄρτος ἀπόχρη κεγχριδίας, καὶ πιτυρείας, καὶ τὸ τυχὸν ὄψον ἀρκεῖ. τίνα οὖν ὀρθῶς καὶ δικαίως δικάζων καλέσειας ἐνδεᾶ καὶ πένητα, τὸν τῶν ἀναγκαίων σπανίζοντα, τὸν τῶν ὀλίγων δεόμενον, ἢ τὸν τῶν παμπόλλων; τὸν ἐν ταῖν χεροῖν ἔχοντα τῆς ζωῆς τὰς ἀφορμάς, ἢ τὸν χρυσῷ τῷ ἀπίστῳ πιστεύοντα; ὃς κλεῖθρα καὶ σφραγῖδας ὑπερβαίνει καὶ σήμαντρα, καὶ θύραις ἐῤῥῶσθαι φράσσεις, ταῖς τῶν τοιχωρύχων χερσὶν ἐναπέρχεται. καὶ τὴν μὲν τέχνην τοῦ πένητος, οὐδεὶς ἀναλάβοι λῃστής, τὸν δὲ πλοῦτον, οὐ λῃστὴς μόνον, ἀλλὰ καὶ συκοφάντης ἀφαιρεῖται τοὺς κεκτημένους. καὶ ὁ μὲν πένης ἐν μέσῃ τῇ ἀγορᾷ κάθηται, σκυτοτομῶν, ἢ χρυσὸν ἐλαύνων, ἢ ἄργυρον, ἢ ἐσθῆτα, ἢ ἄλλο τι τῶν ἀναγκαίων ἀποδιδόμενος. ὁ δὲ ἐν μέσῳ τῷ πλούτῳ γαυριῶν, καὶ τὸ σῶμα ὑπὲρ τὴν κεφαλὴν αἴρων, καὶ τὰς χεῖρας περιφέρων μετὰ τῶν πολλῶν δορυφόρων, παρὰ τὸν ἄρχοντα φοιτᾷ. καὶ ὁ μέν, ὡς εἰκός, κάθηται, ἢ τὰ δέρματα ῥάπτων, ἢ διαγλύφων τὸν ἄργυρον, ἢ ἄλλο τι δρῶν ἧς μετέρχεται τέχνης. ὁ δὲ ἕστηκε προσδιαλεγόμενος, καὶ τὴν χρείαν τῇ περιουσίᾳ σημαίνων. τί τοί-

Ministerio de Educación, Cultura y Deporte

ναν ἀγανακτεῖς, καὶ τῆς πενίας κατηγορεῖς, ὁρῶν τὸν πλοῦτον μάλα ταύτης δεόμενον; καὶ τοὺς τοῦτον ἔχοντας, ταύτης δίχα βιῶναι μὴ δυναμένους; θαύμαζον τὸν οὕτω ταῦτα σοφῶς πρυτανεύσαντα, καὶ τούτοις μὲν χρήματα, τούτοις δὲ τέχνας ὀρέγοντα, καὶ εἰς ὁμόνοιαν καὶ φιλίαν διὰ τῆς χρείας συνάπτοντα. οἱ μὲν γὰρ, χορηγοῦσι χρήματα, οἱ δὲ, παρέχουσι τὰ τῆς τέχνης βλαστήματα. ἀντιφιλοτιμεῖται γὰρ ἡ πενία, καὶ νικᾷ τοῖς δώροις τὸν πλοῦτον. ἃ γὰρ ἐκεῖνος ὡς ἄχρηστα ἔχει, ταῦτα διὰ τῆς τέχνης αὕτη μεταποιοῦσα, ἀναγκαῖα δείκνυσι, καὶ πρὸς πᾶσαν ἐπιτήδεια χρείαν. εἰ δέ τις ἀκριβῶς καταμάθοι, καὶ αὐτὰς τοῦ πλούτου τὰς ὕλας, ἡ πενία συλλέγει. αὕτη γὰρ μεταβάλλει τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, χαλκόν τε καὶ σίδηρον, δι' ὧν ὁ πλοῦτος συνίσταται. ἐκ πάσης γὰρ τέχνης ἐρανιζόμενος γίνεται, αἱ δὲ τέχναι τῆς πενίας ἴδιαι. καὶ ταύτας δὲ πάλιν τὰς ἀμόρφους ὕλας ἡ πενία λαβοῦσα, εἰδοποιεῖ καὶ μορφοῖ, καὶ κατασκευάζει δακτυλίους, ὅρματα, περιδέραια, ἔπιπλα, κύκλους, ἐκπώματα, καὶ τὰ ἄλλα πάντα, ὅσα τὴν πλουσίων τὴν γνάθον φυσᾷ. εἰ γίνω καὶ ὁ πλοῦτος διὰ τὴν πενίαν συνίσταται, καὶ ἡ πενία τὸν πλοῦτον ἔχει τῶν

τεχνῶν

τεχνῶν ἐπίκουρον, τί ἀνισότητα κατηγορεῖς τῆς ἰσότητος; τί δὲ ἐναντία τὰ φίλα προσαγορεύεις; τί δὲ πολιτείαν διαβάλλεις, δι' ἧς καὶ τοῖς πένησι καὶ τοῖς πλουσίοις ὁ βίος ἐστὶ θυμηρέστερος; παρ' ἀλλήλων γὰρ καὶ οὗτοι κἀκεῖνοι τὸ ἐνδέον λαμβάνοντες, ἀναπληροῦσι τὴν χρείαν. Ἀλλ' ἴσως ἂν εἴποις· τί δήποτε τῶν εὐπόρων οἱ πλείους ἀδικίᾳ συζῶσι, διὰ τί δὲ οὐχ ἅπαντες δικαιοσύνης ὑπάρχουσι τρόφιμοι; ἀλλὰ πάλιν κἀνταῦθα τὸ αὐτεξούσιον ἀφαιρεῖς, καὶ ἀποστερεῖς τὸ ζῶον τιμῆς, ἣν παρὰ τοῦ πεποιηκότος ἐδέξατο. ἄλλως τε δὲ καὶ πολλὴν ἂν χώραν ἀπολογίας ἔλαβον οἱ τῆς κακίας ἐργάται, εἰ κατὰ τὸν παρόντα βίον μόνοις τοῖς δικαίοις τὸν πλοῦτον ἀπένειμεν ὁ κριτής, εἶπον γὰρ ἄν, ἃ περὶ αὐτοῦ ὁ διδά-

» σκαλος κατὰ τοῦ Ἰὼβ ἐφθέγξατο· ὅτι σὺ πε- Κεφ. α'

» ριέφραξας τὰ ἔσωθεν καὶ τὰ ἔξωθεν τῆς οἰ-

» κίας αὐτοῦ πάντα. σῖτον καὶ οἶνον ἐπλήθυ-

» νας αὐτοῖς. ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου, καὶ

» ἅψαι πάντων, ὧν ἔχουσιν· ἦ μήν, εἰς πρόσω-

» πόν σε εὐλογήσουσι. Ταῦτα ἂν εἶπον οἱ τῇ κακίᾳ συζῶντες, εἰ μόνοι οἱ τῆς ἀρετῆς τρόφιμοι τοῦ πλούτου τὸ δῶρον ἐδέξαντο. ἐπειδὴ δὲ, προὔθηκε μὲν πενίαν, καὶ πλοῦτον εἰς μέσον. οἷόν τινας ὕλας ὁ ποιητής, χρῶνται δὲ τοῦ



Ministerio de Educación, Cultura y Deporte

χρις τινὲς μὲν, εἰς ἀρετῆς κτῆσιν, τινὲς δὲ, εἰς κακίας ἀπόθεσιν, οὔτε πλουσίοις, οὔτε πένησι κακίᾳ συζῶσιν ἀπολείπεται συγγνώμης πρόφασις. οἵ, τε γὰρ τὸν πλοῦτον εὖ καὶ καλῶς οἰκονομήσαντες, καὶ μήτε συμφοραῖς ἀλλοτρίαις τοῦτον αὐξήσαντες, καὶ κοινωνοὺς τῆς εὐπορίας τοὺς δεομένους λαβόντες, ἀρκοῦσιν εἰς κατηγορίαν τῶν ἀδίκως καὶ πλεονεκτικῶς χρησαμένων τῷ πλούτῳ. οἵ, τε τὴν πενίαν φιλοσοφίᾳ κεράσαντες, καὶ καρτερικῶς αὐτῆς καὶ γενναίως τὰς προσβολὰς ἐνεγκόντες, ἀληθεῖς κατήγοροι τῶν ἐν πενίᾳ τὴν κακουργίαν μεμαθηκότων γενήσονται. Βλέπε δὲ καὶ τὴν ἄλλην τοῦ κυβερνήτου οἰκονομίαν, ἵνα θερμότερον αὐτῷ προσενέγκῃς τὴν ὑμνῳδίαν. ἐπειδὴ γὰρ πολλὴν εἶδε περὶ τοὺς πλουτοῦντας τὴν θεραπείαν, ὑγείαν συνεκλήρωσε τῇ πενίᾳ. καὶ ὁ μὲν, φέρεται φοράδην. ὁ δὲ, βαδίζει ποσὶν ἀλλοτρίων μὴ δεόμενος. καὶ ὁ μὲν, ἐπιθυμεῖ τῆς τοῦ πένητος ὑγείας. ὁ δὲ, ἐλεεῖ τοῦ πλούτου τὴν ἀρρωστίαν. ἔστι δὲ ἰδεῖν καὶ ἐν ταῖς νόσοις, τὸν μὲν, ἀπὸ μυρίων θεραπευόμενον, καὶ πικρῶς ἀλγυνόμενον, καὶ φέρειν οὐ δυνάμενον τὴν τοῦ νοσήματος προσβολήν. καὶ ἐν ὥρᾳ μὲν χειμῶνος, ἐλεεινῶς οἴκοι κατάκειται, ὑπὸ στρωμνῆς μαλακῆς καλιν-

Ministerio de Educación, Cultura y Deporte

δυόμενος, ἱματίοις πολλοῖς καὶ θερμοῖς ἐνει-
λημμένος, ἑταίρους ἔχων περικειμένους, καὶ
τῷ κρυμῷ πολεμοῦντας, φάρμακα μυρία τῇ
νόσῳ μαχόμενα, ἰατρῶν ἀποχύσεις ψυχαγω-
γούσας, φίλους παρόντας, καὶ τῶν παθῶν τὰς
ἀνίας τῇ διαλέξει συλλῶντας. εἰ δὲ θέρους
εἴη καιρὸς, ἕτεροι ἔσωθεν οἶκοι πάλιν ἀποδέ-
χονται καταπεπλασμένοι, καὶ τὰς τῶν ἀνέμων
αὔρας ῥαδίως ἀποδεχόμενοι. εἰ δὲ καὶ αὗ-
ται λήξαιεν, ῥιπίζονται ταῖς ῥιπίσι τὸν ἄνε-
μον οἱ θεράποντες. κλάδοι πανταχόθεν περί-
κεινται, κῆπον σχεδιάζοντες, καὶ ἄλσος τὴν
οἰκίαν ἀποφαίνοντες. ὕδατος μηχανῶνται
κρουνοὺς ἐν τελωρόφοις, τὸν ὕπνον αὐτοῦ τοῖς
βλεφάροις ἐπιθεῖναι βουλόμενοι. καὶ τοσαύ-
της θεραπείας πανταχόθεν προσφερομέ-
νης, οὐδὲν ἧττον ἐκεῖνος ἀλγύνεται, γυμνού-
μενος, περιστρεφόμενος, τῇ κινήσει τῶν χειρῶν
τὴν κεκρυμμένην σημαίνων πυράν. ὁ δὲ πένης,
ἐν ᾧ μὲν οἰκίσκον ἔχει, καὶ ἔσωθεν ἐσθὴ μισθῷ.
εἰσὶ δὲ οἱ μισθὸν παρέχειν μὴ δυνάμενοι, τὴν
ἀγορὰν ἔχουσιν οἰκίαν, καὶ κλίνην τὸ ἔδαφος,
καὶ στρωμνὴν τὸν φορυτὸν, καὶ οὔτε ἰατρὸς πα-
ρείσεται, οὐ φαρμακοποιὸς τοῖς τοῦ ἰατροῦ διακο-
νῶν ἐπιτάγμασιν, οὐκ οἰκέτης, οὐ θεράπαι-
να, τυχὸν δὲ, οὐδὲ γυνὴ σύνοικος. πάντα δὲ



Ministerio de Educación, Cultura y Deporte

αὐτῷ γίνεται ἡ τοῦ θεοῦ προμήθεια, ἀμβλύνουσα μὲν τῶν παθῶν τὰς ἀκίδας, ἀμαυροῦσα δὲ τὰς ὀδύνας, σβεννῦσα δὲ φαρμάκου δίχα τὴν τοῦ πυρὸς φλόγα, ἀπείργουσα δὲ τὴν βλάβην, τὴν ἀπὸ κρυμοῦ, τὴν ἀπὸ φλεγμοῦ, τὴν ἀπὸ τῆς ὑποκειμένης νοτίδος. οὐδεὶς ἐκεῖνον διδάσκει, τίνα τῶν ἐδεσμάτων τρέφει τὴν νόσον, τίνα τῇ ὑγείᾳ συναγωνίζεται, ἀλλὰ ἀδιορίστως καὶ ἀδιακρίτως τὸ τυχὸν ἐσθίει, καὶ τὸ βλαβερὸν ὠφέλιμον γίνεται, καὶ τὸ ψυχρὸν ὕδωρ πινόμενον, φάρμακον ἀναφαίνεται, καὶ ὁ ξηρὸς ἄρτος τὴν φλόγα κατασβέννυσιν. οὐ δεῖται τῶν ἄνωθεν *λαμπάδων, ἢ τῶν κάτωθεν ἐνιεμένων ὑπηλάτων, ἀναπληροῖ γὰρ ἡ φύσις τὴν ἔνδειαν, καὶ τὴν ἀπὸ τῶν ἰατρῶν βοήθειαν αὐτὴ προσφέρει τῷ κάμνοντι. καὶ ἔστιν ἰδεῖν τὸν ἐπὶ τοῖς ἐδάφεσιν ἐρριμμένον, ῥᾷον φέροντα τὴν νόσον, ἐκείνων τῶν τῆς προειρημένης θεραπείας ἀπολαυόντων. ὁρῶν τοιγαροῦν ἐν ἑκάστῳ τῶν γινομένων τοῦ θεοῦ τὴν κηδεμονίαν μὴ πολυ

ἕκαστον. εἰ δὲ θέλεις καὶ

τῆς πολυπραγμοσύνης συν

αὐτή σου τῆς πορείας ἡγείσθω

ἐρευνᾶν ποδηγεί

τω. ταύτῃ πειθόμενος, λάβε πᾶσαν ἀφορ

*λαμβανομένων

μὴν εἰς ὑμνῳδίαν τοῦ κτίσαντος, μέμνησαι τοὺς
τρεῖς ἐκείνους παῖδας, οἳ καμίνῳ παραδοθέν-
τες, καὶ τὴν ἄψυχον κτίσιν εἰς δοξολογίαν καὶ
ἐξομολόγησιν ἐκάλεσαν, καὶ τὸν ὠμῶς τῇ κα-
μίνῳ παραδεδωκότα τύραννον, εἰς θεωρίαν
τοῦ θαύματος εἵλκυσαν, καὶ τὸν πολεμηθέντα
θεὸν προσκυνῆσαι τῇ θαυματουργίᾳ κατη-
νάγκασαν. ἐκείνους μὲν οὐδὲν οὔτε κάμινος εἰς βλα-
σφημίαν κινῆσαι τὴν γλῶτταν ἠνάγκασεν,
ἀλλὰ καὶ τοσαύτῃ παραδοθέντες φλογὶ, ὕμνοις
τὸν εὐεργέτην ἐγέραιρον, σὲ δὲ οὔτε κάμινος,
οὔτε λέοντες βλασφημεῖν ἀναγκάζουσιν, ἀλ-
λὰ τοῖς θεοσδότοις ἀγαθοῖς ἐντρυφῶν, οὐκ
αἰσθάνῃ τῶν δωρεῶν. εἰ δέ μοι πείθοιο, τὴν
γλῶτταν εὐσεβείᾳ κοσμήσεις, καὶ τὴν μὲν
κτίσιν ἐπαινέσεις, τὸν δὲ κτίστην ὑμνή-
σεις, καὶ τὴν παροῦσαν αὐτοῦ
πανταχοῦ προμήθειαν
προσκυνήσεις. αὐτῷ
ἡ δόξα εἰς τοὺς
αἰῶνας,
Ἀμήν.



Ministerio de Educación, Cultura y Deporte

## Ὅτι δουλεία καὶ δεσποτεία πρόσφοροι τῷ βίῳ. λόγος, Ζ'.

Ο ΥΔεῖται μὲν τῆς ἀνθρωπίνης
γλώττης εἰς ὕμνων χορηγίαν
τῶν ὅλων ὁ ποιητής, οὐδὲ γὰρ
τὴν τῶν ἀγγέλων δοξολογίαν,
ὡς δεόμενος δέχεται, ἀλλὰ τὴν
εὔνοιαν ὁρῶν, καὶ τὸ εὔγνωμον ἀπ
σιασ δὲ τὰς νομικὰς ἡνίκα
φέροντες, οὐχ ὡς χρείαν δήπο
ἀλλ' ὑπὲρ τῶν μυ
ρίων εὐεργεσιῶν ὧν ἐδέχοντο τὴν δωρεὰν
χάριν ἐκτείνειν πειρώμενοι. αὐτίκα τοίνυν ἔστιν
ἰδεῖν, οὐδὲ πάντας μίαν καὶ τὴν αὐτὴν προσφέ-
ροντας, ὁ μὲν γὰρ, ἔθυε μόσχον. ὁ δὲ, ἀμνόν. ὁ δὲ
χίμαρον. καὶ ὁ μὲν, πλεῖστα θύματα. ὁ δὲ, ἐλάτ-
τω. ὁ δὲ τούτων ἀπορῶν, καὶ πενίᾳ συζῶν, ζεῦγος
τρυγόνων, ἢ νεοττοὺς περιστερῶν. ὁ δὲ καὶ τού-
των σπανίζων, σεμίδαλιν ὀλίγην, καὶ λιβα-
νωτοῦ χρείαν τινά. ποιότητι τοιγαροῦν γνώ-
μης, οὐχὶ ποσότητι δώρων προσέχειν τὸ δίκαιον
κριτὴν ἐντεῦθεν δήπουθεν διδασκόμεθα. καὶ
τοὺς εὐσεβεῖς ἡμῶν προσφέρομεν λόγους, οὐχ
ἵνα τῇ βραχυτάτῃ σταγόνι τὴν ἄβυσσον τῆς
σοφίας αὐξήσωμεν, ἀλλὰ καὶ τὴν οἰκέταις

Ministerio de Educación, Cultura y Deporte

εὔνοιαν ἐπιδεῖξαι πειρώμενοι, καὶ τῶν ὁμοδού- λων διελέγξαι τὸ θράσος, καὶ τὸν δεσποτικὸν αὐτοῖς ἀποθεῖναι ζυγὸν προμηθούμενοι. κομιδῇ γὰρ ἀσχάλλομεν τὴν πάντα κυβερνῶσαν τοῦ θεοῦ σοφίαν ὑπ' αὐτῶν συκοφαντουμένην ὁρῶντες, οὗ χάριν καὶ τὸν παρόντα τοῦ λόγου πόνον ἐδεξάμεθα, καὶ παῦσαι τοῖς ἐλέγχοις τὴν βλασφημίαν πειρώμεθα.

Ὅτι μὲν οὖν λίαν ἀνοήτως καταιτιῶνται τὴν δοκοῦσαν ἀνωμαλίαν τοῦ βίου, καὶ παραπαίοντες τὸ δέον οὐ συνορῶσιν, ἱκανῶς ὁ περὶ τούτου λόγος ἐδίδαξε, καὶ τῆς πενίας ἀποδείξας τὸ χρήσιμον, καὶ τοῦ πλούτου διελέγξας τὴν ἀνίαν. Ἐπειδὴ δὲ οὐ μόνον τῆς πενίας κατηγοροῦσιν, ἀλλὰ καὶ τὴν δουλείαν ὀλοφύρονται, καὶ τοὺς βασιλικοὺς ἀποδύρονται φόρους, καὶ ἕτερα τὰ τῷδε τῷ βίῳ λίαν ἁρμόττοντα, φέρε καὶ περὶ τούτων μικρὰ διεξέλθωμεν, καὶ τοὺς ἀρίστους τῶν ἰατρῶν μιμησόμεθα, οἳ τοὺς ἀρρώστους ἀποσίτους ὁρῶντες, καὶ τὰ προσφερόμενα σιτία πάντα βδελυττομένους, τέχναις τισὶν ἰατρικαῖς τὸ δυσάρεστον αὐτῶν εὖ μάλα κατασοφίζονται. τὰ γὰρ ξηρότερα καὶ τρυφνότερα τῶν ἡδυσμάτων παραμιγνύντες, τὸ βδελυκτὸν τῷ ἀρρώστῳ φαινόμενον ἥδιστον ἀπεργάζονται. καὶ οὗτοι δὲ ὁμοίως ἐκεί-



Ministerio de Educación, Cultura y Deporte

νοις, πᾶσι τοῖς ὁρωμένοις καὶ γινομένοις ἐπιμέμφονται. ἀλλ' ἐκείνοις μὲν ἡ νόσος παρὰ γνώμην συμβαίνει, καὶ ἀλγυνόμενοι λίαν, τῶν σιτίων ἀπέχονται, καὶ μεταλαβεῖν ποθοῦντες, ὑπὸ τῆς νόσου κωλύονται. τούτοις δὲ ἑκούσια καὶ αὐθαίρετα πολεμεῖ τὰ πάθη, καὶ τὸ δυσάρεστον ἔχουσιν οὐ περὶ σιτία καὶ ὄψα, ἀλλὰ περὶ πάντα τὰ σοφῶς καὶ δικαίως ὑπὸ τῆς θείας προμηθείας οἰκονομούμενα. καὶ σπείροντες μὲν, τὸν ὄμβρον ἐπιθυμοῦσιν. ὁδοιποροῦντες δὲ, τῶν ὄμβρων κατηγοροῦσι. χρῄζουσι δὲ θερμοτέρας τῆς ἡλιακῆς ἀκτῖνος, ἵνα πέπονας τῶν σπερμάτων τὸν καρπὸν ἀπεργάσηται, καὶ δυσχεραίνουσι πάλιν, καὶ τὸν φλογμὸν αἰτιῶνται. παντα πόνον ὑπὲρ τῆς γαστρὸς καταδέχονται, καὶ γεωπονίας, καὶ ναυτιλίας, καὶ μακρὰς ὁδοιπορίας. καὶ πάλιν αὐτῆς πικροὶ κατήγοροι γίνονται, ὥσπερ οὐ δουλεύειν τοῖς τῆς ψυχῆς νεύμασιν, ἀλλ' ἄρχειν τεταγμένης. μέμφονται σκηπτοῖς, καὶ χαλάζαις, καὶ ταῖς τοιαύταις ἐνδείαις. καὶ πάλιν τῆς τοῦ θεοῦ μακροθυμίας κατηγοροῦσι. καὶ οὔτε τὸ δίκαιον αὐτοῦ, οὔτε τὸ μακρόθυμον καταιδεῖ. ἀλλ' αὐτοὶ μὲν τῆς μακροθυμίας ἀπολαύειν, καὶ μεγάλα πλημμελοῦντες, προσεύχονται, τοὺς δὲ σφᾶς αὐτοὺς

Ministerio de Educación, Cultura y Deporte

λελυπηκότας, ἄκρατον δέχεσθαι θέλουσι τοῦ δικαίου τὴν προσβολήν. εἶδον πένητας, εὐθὺς τὴν γλῶτταν κατὰ τῆς προνοίας ἐκίνησαν, καὶ πολλοῖς τὴν πενίαν κατέχωσαν σκώμμασιν. ἐθεάσαντο πλούσιον ἐπ᾽ ἄκρων ὀνύχων βαδίζοντα, λεόντειον βλέποντα, τῇ δὲ κἀκεῖσε τοὺς ὤμους περιφέροντα, ἢ ἐπ᾽ ὀχημάτων φερόμενον, καὶ πολλοῖς οἰκέταις καὶ ῥαβδοφόροις κυκλούμενον, μεταφέρουσι κατὰ τῶν χρημάτων τὴν βλασφημίαν. δυσχεραίνουσι τὸν βίον, ὡς ἀνωμαλίας ἀνάπλεω. καὶ μισοῦσι τὸν θάνατον τὸν τὴν ἀνωμαλίαν παύοντα, καὶ τὴν ἰσοτιμίαν τοῖς σώμασιν ἀπονέμοντα. καὶ μὴν ἔδει τὸν βίον θαυμάζειν, τοὺς τὸν θάνατον μεμφομένους, ἢ τὸν θάνατον εὐφημεῖν, τοὺς τὸν βίον αἰτιωμένους. ἐναντία γὰρ ἐκ διαμέτρου θάνατος καὶ ζωή. οἱ δὲ, φύρδην ἅπαντα βλασφημοῦσι, καὶ πάντων ὁμοίως κατηγοροῦσι. καὶ παῖδες μὲν ὄντες, μακαρίζουσι τοὺς ἄνδρας. ἄνδρες δὲ γενόμενοι, ζηλωτοὺς ἀποκαλοῦσι τοὺς παῖδας. καὶ τί δεῖ πάντα λέγειν τὰ ὑπὸ τῆς πονηρᾶς ταύτης νόσου συκοφαντούμενα; οὐδὲν γάρ ἐστι τῶν γινομένων, ὃ μὴ δέχεται λοιδορίας βέλος ὑπὸ τῆς τούτων γλώσσης πεμπόμενον. φέρε τοίνυν ταῖς ἰατρικαῖς μεθόδοις χρησάμενοι, διεξω-

Ministerio de Educación, Cultura y Deporte

μὲν αὐτοῖς ἡ δίαιτα τὰ τέως αὐτῶν ἀποκναίοντα. Περὶ μὲν οὖν πλούτου καὶ πενίας, καὶ τῆς ἐν τούτοις δοκούσης ἀνωμαλίας, ἀποχρώντως ἐν τῷ πρὸ τοῦδε λόγῳ διεξήλθομεν. καὶ ταύτης, καὶ τούτου δεικνύντες τὸ χρήσιμον. Ὅτι δὲ εἰς δουλείαν καὶ δεσποτείαν ὁ ποιητὴς ἐξ ἀρχῆς τὴν φύσιν διέκρινεν, αὐτίκα δηλώσομεν. Δεῦρο τοίνυν ἐπίδε ταύτην ἡμῶν τὴν πρώτην διάπλασιν, καὶ βλέπε ἕνα μὲν ἄνδρα πλαττόμενον ἀπὸ γῆς, γυναῖκα δὲ ὁμοίαν οὐκέτι ὁμοίως ἀπὸ γῆς. πλευρὰν γὰρ μίαν ἐξ ἐκείνου λαβὼν ὁ ποιητὴς, οὕτω τὸ γένος τοῦτο διέπλασεν, ὅπως μὴ φύσεως δευτέρας αὐτὴν νομίζηται διὰ τὸ τοῦ χώματος ἑτεροῖον. εἷς τοιγαροῦν ἀπὸ γῆς διεπλάσθη. καὶ ἐξ ἀνδρὸς ἡ γυνή. καὶ ἐξ ἀμφοῖν ἅπασα τῶν ἀνθρώπων ἡ φύσις. οὐ γὰρ ἐξ ἀρχῆς ὁ ποιητὴς, τοῖς μὲν, δουλείαν. τοῖς δὲ, δεσποτείαν ἀπένειμεν. ἀλλ᾿ ἓν ἁπάντων ἐδημιούργησε γένος.
Γεν. ς´. καὶ τῷ Νῶε δὲ κιβωτὸν κατασκευάσαι κελεύσας, καὶ μισθὸν δικαιοσύνης τὴν σωτηρίαν πορίσας, αὐτὸν καὶ τὴν ὁμόζυγα σὺν τοῖς υἱέσι καὶ ταῖς ἐκείνων γαμεταῖς εἰς τὴν κατασκευασθεῖσαν εἰσελθεῖν προσέταξε κιβωτὸν, καὶ δοῦλος οὐδεὶς εἰσελήλυθε, οὐδέπω γὰρ ἡ φύσις ταύτην εἰσεδέδεκτο τὴν προαίρεσιν.

Ministerio de Educación, Cultura y Deporte

ἀλλὰ μόνα τὰ τῷ ὄντι δοῦλα τῶν ἀλόγων τὰ γένη, ἃ τούτου χάριν τῶν ὅλων ὁ ποιητὴς εἰς τόνδε τὸν βίον παρήγαγεν. ἐπειδὴ δὲ πολλὴν ἐν τοῖς μετὰ ταῦτα τὴν ἀκοσμίαν εἶδεν ἐκ τῆς ἀναρχίας γεγενημένην, καὶ πᾶσαν ἀδεῶς παρανομίαν ἐκτελουμένην, εἰς ἄρχοντας καὶ ἀρχομένους διεῖλε τῶν ἀνθρώπων τὸ γένος, ἵνα τῶν ἀρχόντων τὸ δέος σμικρύνῃ τῶν ἁμαρτημάτων τὸ πλῆθος. οἶδε γὰρ φόβος χαλινοῦν τῶν ἀλόγων παθῶν τὰς ἀφορμάς, καὶ τῆς ψυχῆς τὴν πρὸς τὸ χεῖρον ἀμβλύνειν ῥοπήν. καὶ πολλάκις ἃ λόγος οὐκ ὤνησεν, ὁ φόβος κατώρθωσεν. ἐπειδὴ γοῦν ἡ φύσις εἰς τὸ χεῖρον ἐξώκειλε, καὶ ὁ νοῦς τοῖς πάθεσι περικλυσθεὶς, ὑποβρύχιός τε γενόμενος, οἷόν τι σκάφος αὐτόματον, ἀτάκτως φέρεσθαι τὸ σῶμα κατέλιπεν, ἀναγκαίως ἐδεήθημεν νόμων, καθάπερ τινὸς ἀγκύρας, ἱστώσης τὸ σκάφος, καὶ τὴν εὐθὺ τὸ πρόσω φορὰν κωλυούσης καὶ συγχωρούσης ἀναδῦναι τὸν κυβερνήτην, καὶ τῶν οἰάκων ἐπιλαβέσθαι. τούτων δὲ τῶν νόμων γενέσθαι τὴν θέσιν, οὐχ οἷόν περ ἦν, Ἰσοκρατίας οὔσης, καὶ πολιτευομένης ἰσονομίας. οὐδὲ γὰρ ἐν ταῖς δημοκρατουμέναις πόλεσιν ἔνθα ὁ δῆμος ἔχει τῶν πραττομένων τὸ κῦρος, τῶν ἴσων ἅπαντες μετέλαχον. ἀλλ' οἱ μὲν

Ministerio de Educación, Cultura y Deporte

ἦσαν θεσμοθέται. οἱ δὲ, νομοθέται. οἱ δὲ, στρα-
τηγοί. οἱ δὲ, τῶν ἀρχομένων ἐπλήρουν τὴν τά-
ξιν. ὁ δὲ δημαγωγὸς, καὶ τῶν* ἀρχόντων ἐκρά- *ἀρχο-μένων
τει, καὶ τῶν ἀρχηγῶν. καὶ ἐν ταῖς ὀλιγαρ-
χουμέναις δὲ πόλεσιν, οἱ μὲν πολλοὶ, τὸν τῶν
ὑπηκόων ἐπλήρουν κατάλογον. οἱ δὲ ὀλί-
γοι καὶ φρονήσει προὔχοντες, καὶ ἀρετῇ δια-
λάμποντες, τά, τε κοινὰ διακονεῖν, καὶ τὰς
ἡγεμονίας διελάγχανον. καὶ οἱ μὲν, ἔφο-
ροι. οἱ δὲ, ναύαρχοι. οἱ δὲ, ἁρμοσταί. καὶ ἦ-
γον τὸ πλῆθος ᾗ ἂν αὐτοῖς ἄριστα δοκῇ. οὐ-
κοῦν ἡ μὲν ἁμαρτία, τῶν νόμων τὴν χρείαν
εἰσήγαγεν. οἱ δὲ νόμοι, τῆς τῶν τιθέντων ἐξου-
σίας ἐδέοντο. οὐ μόνον δὲ τῶν τιθέντων, ἀλλὰ
καὶ τῶν κολάζειν τοὺς παραβαίνοντας δυνα-
μένων. καὶ ἡ μὲν ἁμαρτία, τὴν ἀταξίαν εἰσή-
γαγεν. ὁ δὲ τῶν ὅλων πρύτανις, τῇ ἀταξίᾳ
τὴν τάξιν ἐπέθηκε. καὶ τῆς ἁμαρτίας τὴν
ῥύμην, οἷόν τινι χαλινῷ τοῖς νόμοις ἀνέστειλε.
τούτου δὲ τοῦ χαλινοῦ τὰς ἡνίας, καθάπερ
ἡνιόχοις τοῖς ἄρχουσιν ἐνεχείρησεν. ὑπὸ τού-
του καὶ πόλεις κοσμοῦνται, καὶ κῶμαι, καὶ
στρατεῖαι. τίς γὰρ ἂν ἤνεγκε τῶν ἀδίκων τὰς
χεῖρας, εἰ μὴ τῆς πλεονεκτικῆς αὐτῶν φλο-
γὸς τὴν εὐθὺ τὸ πρόσω φορὰν ἐπεῖχε τῶν νόμων
τὸ δέος; δίκην γὰρ ἰχθύων κατέφαγον οἱ μεί-

Ministerio de Educación, Cultura y Deporte

ξοις τοὺς ἐλάττους, εἰ μὴ τὸ ξίφος ὁ νόμος τεθηγμένον ἐδείκνυε, καὶ τὴν πυρὰν ἀπτομένην, καὶ τὰ ἄλλα ὅσα πρὸς τιμωρίαν τῆς κακουργίας συζώντων ἐπινοήθη τοῖς ἄρχουσιν. Εἰ γὰρ καὶ τῶν νόμων ἀπειλούντων, καὶ τῶν ἀρχόντων κολαζόντων, εἰσί τινες οἳ θηρίου παντὸς ἀγριώτεροι πρὸς τοὺς πέλας διάκεινται, καὶ ἅπτουσιν ὡς σκορπίοι, καὶ δάκνουσιν ὡς ὄφεις, καὶ λυττῶσιν ὡς κύνες, καὶ βρύχονται κατὰ τῶν ὁμοφύλων, ὥσπερ κατὰ τῶν ἀλλογενῶν οἱ λέοντες. τί οὐκ ἂν ἔδρασαν νόμων μὴ ὄντων, καὶ ἀρχόντων μὴ κολαζόντων; νῦν δὲ, τολμῶνται μὲν παρ' ἐνίων παρανομίαι, λανθάνειν δὲ ὅμως οἱ τολμῶντες πειρῶνται, τοὺς νόμους δειμαίνοντες. καὶ τὴν ἀδικίαν τῇ δεινότητι τῶν λόγων συγκαλύπτειν ἐπιχειροῦσι. καὶ ὁ ἀδικούμενος ἀδεῶς πρόσεισι τοῖς δικάζουσι, καὶ τὴν τῆς ἀδικίας εἰσάγει γραφήν. καὶ τὴν τοῦ ἠδικηκότος οὐ δέδοικε δυναστείαν, οὐδὲ φρίττει τοῦ πλούτου τὴν περιφάνειαν. ἀλλ' ὡς εἰς λιμένα εἰς τὸ δικαστήριον φεύγει, καὶ τῆς ἀδικίας διηγεῖται τὰ εἴδη, καὶ τοὺς νόμους εἰς μέσον ἐλθεῖν παρακαλεῖ, καὶ κατὰ τούτους δικάζειν τὸν δικαστὴν ἱκετεύει. ὁ δὲ, τὴν ψῆφον ἐκφέρει, καὶ τὴν ἁρπαγεῖσαν οἰκίαν, ἢ τὸν ἀγρὸν, ἢ τὸ σκεῦος ἀποδοθῆναι τῷ ἠδικημένῳ κελεύει.

Ministerio de Educación, Cultura y Deporte

κολάζει δὲ πολλάκις καὶ ζημίᾳ χρημάτων
τὸν ἀδικίαν τετολμηκότα. διὰ τοῦτο τὸ δέος, καὶ
τοιχωρύχοι, καὶ λωποδύται, οὐ περιφανῶς,
ἀλλὰ κρύβδην τὴν ἀδικίαν μετίασι, καὶ τῷ
πειρᾶσθαι λανθάνειν, τὸ δέος κηρύττουσιν.
ἢ γὰρ ἂν ἐγχειρίδια λαβόντες, ἅπαντας τοὺς
περιτυχόντας κατέσφαξαν, καὶ τὰς ἐκείνων
κτήσεις διείλοντο. ἐπειδὴ δὲ δειμαίνουσιν, οἱ
πολλοὶ μὲν, ἡσυχάζουσιν. οἱ δὲ τῆς πονηρίας
κατατολμῶντες, ἢ τῶν ὁδῶν τὰς ἐρημοτέρας
καταλοχῶσιν, ἢ νύκτωρ ἐν ταῖς πόλεσι κα-
κουργοῦσι. τὸ σκότος, καὶ τὸν ὕπνον, καὶ τὴν
ἁπάντων ἡσυχίαν, τῆς λῃστείας λαμβάνον-
τες συνεργόν. καὶ δύο δὲ τούτων, ἢ τρεῖς φωρα-
θέντες, καὶ κολασθέντες ὑπὸ τῶν νόμων, ἱκα-
νὸν τοῖς ἄλλοις ὠφελείας ὑπόδειγμα γίνον-
ται. καὶ τῶν ὁμοτρόπων τὴν τιμωρίαν ὁρῶν-
τες, μισοῦσι τὴν πονηρίαν ὡς θανάτων τοιού-
των μητέρα. Ἀλλὰ γὰρ οὐκ οἶδ᾽ ὅπως εἰς τού-
τους ἐξέβην τοὺς λόγους, τὴν τῆς δουλείας
αἰτίαν διεξελθεῖν ἐθελήσας. ἐπανελθεῖν οὖν
ὅθεν ἐξέβην καιρός. Ὅτι μὲν οὖν ἐξ ἀρχῆς ὁ
τῶν ὅλων δημιουργὸς, μίαν εἰργάσατο πάν-
των τῶν ἀνθρώπων τὴν φύσιν, καὶ ἐξ ἑνὸς
ἀνδρὸς καὶ μιᾶς γυναικὸς ἅπασαν τὴν οἰκου
μένην τουδὶ τοῦ γένους ἐπλήρωσε, μάρτυς ἡ

Ministerio de Educación, Cultura y Deporte

θεία γραφή. οἵ, τε γὰρ τὰ πρὸς ἥλιον ἀνίσχοντα καὶ δυόμενον, οἵ, τε τὰ νότεια καὶ τὰ βόρεια μέρη διειληχότες, καὶ οἱ τὰ μέσα δὲ ταύτης οἰκοῦντες, ἓν ἔχουσι τὸ τῆς διαπλάσεως εἶδος, τὸν αὐτὸν τῶν αἰσθητηρίων ἀριθμόν, ἐν μόνοις ἤθεσι καὶ χρώμασι διαφέροντες. ἀλλὰ τὰ μὲν ἤθη, τὰ ἔθη ποιεῖ, καὶ τὸ τῆς ψυχῆς αὐτεξούσιον. ταύτην δὲ καὶ παρ᾽ ἡμῖν αὐτοῖς ἔστιν εὑρεῖν τὴν διαφοράν. τὸ δὲ τῶν χρωμάτων ἑτεροῖον, ἡ τῶν χωρίων ἀπεργάζεται θέσις. οἱ μὲν γὰρ πόρρω τῆς ἡλιακῆς ἀκτῖνος οἰκοῦντες, λευκοτέραν ἔχουσι τὴν τοῦ σώματος ἐπιφάνειαν. οἱ δὲ τοῖς ἑῴοις καὶ ἑσπερίοις τμήμασι, κατὰ τὸν νότιον τοῦ πόλου μέρος ἐνδιαιτᾶσθαι λαχόντες, πλησιώτεροι τῆς ἀκτῖνος γινόμενοι, μελαίνονται τὸ σῶμα, ξύλων τινῶν δίκην τῇ πλείονι τοῦ πυρὸς ὁμιλίᾳ ἐπανθρακουμένων, καὶ τὴν μέλαιναν χροιὰν ἐνδυομένων. οὐκοῦν μία μὲν τῶν ἀνθρώπων ἡ φύσις, καὶ ἀρχόντων καὶ ἀρχομένων, καὶ ὑπηκόων καὶ βασιλέων, καὶ δούλων καὶ δεσποτῶν. μία δὲ οὖσα ἡ φύσις, τοῦ δημιουργοῦ κηρύττει τὸ δίκαιον. διαιρεθεῖσα δὲ τῷ χρόνῳ εἰς δουλείαν καὶ δεσποτείαν, καὶ τούτοις κἀκείνοις τὸν αὐτὸν φυλάξασα χαρακτῆρα, κατηγορεῖ μὲν τῆς ἁμαρτίας, ταύτην εἰσαγούσης τὴν χρείαν.

Ministerio de Educación, Cultura y Deporte

τοῦ δὲ ποιητοῦ καὶ ἐν τούτῳ τὴν ἰσότητα διέκρινεν· ἐφύλαξε γὰρ μέχρι τέλους τὴν τῆς οὐσίας ταυτότητα. τὴν δὲ ἀταξίαν τῆς ἁμαρτίας, τῇ τάξει τῆς ἡγεμονίας ἐξέβαλε. καὶ τὴν ἐκείνης πλεονεξίαν, τῷ κανόνι τῆς νομοθεσίας ἐρρύθμισεν, οἷόν τις ναυπηγὸς συνάρτῃ σανίδας ἀπευθύνων, καὶ τὸ περιττὸν ἀφαιρούμενος. μὴ τοίνυν τοῦ δημιουργοῦ κατηγόρει τὴν δουλείαν θεώμενος, ἀλλὰ τὴν ἁμαρτίαν καὶ βλασφημίαν φεῦγε, δι' ἣν εἰς δουλείαν καὶ δεσποτείαν διῃρέθη τῶν ἀνθρώπων τὸ γένος. σὺ δὲ σκάφος μὲν ὁρῶν ἐξ οὐρίων φερόμενον, καὶ τοὺς μὲν πλωτῆρας ἡσυχῇ καθημένους, τοὺς δὲ ναύτας, ἢ ταῖς κώπαις ἐρέττοντας, ἢ τὰς προτόνους ἕλκοντας, ἢ ἄλλο τι τῶν κελευομένων ἐργαζομένους. τὸν δὲ πρωρέα, σκοπέλους καὶ βράχη καὶ σπιλάδας περισκοποῦντα, καὶ τῷ κυβερνήτῃ μηνύοντα. τὸν δὲ κυβερνήτην πᾶσιν ἐπιστατοῦντα, καὶ τοῖς πηδαλίοις τὸ σκάφος ἰθύνοντα, θαυμάζεις τὴν τάξιν. καὶ οὐ κελεύεις εἶναι πάντας κυβερνήτας, οὐδὲ πᾶσι τὴν τῆς νηὸς ἡγεμονίαν κελεύεις. καὶ τοὺς μὲν, ἡσυχάζοντας βλέπων. τοὺς δὲ τὸ κελευόμενον δρῶντας. τὸν δὲ προλέγοντα τὸ φαινόμενον. τὸν δὲ, πάντων ὁμοῦ προστατεύοντα, οὐκ ἀγανακτεῖς, οὐδὲ κατη-

γορεῖς

Ministerio de Educación, Cultura y Deporte

πορεῖς ἀκοσμίαν, ἀλλὰ μᾶλλον θαυμάζων τὴν τάξιν διατελεῖς. τὰς δὲ οἰκίας οὐκ ἐθέλεις ταῖς ὁλκάσι παραπλησίως κυβερνᾶσθαι, ἀλλὰ δυσχεραίνεις, τὸν μὲν, ἡγούμενον βλέπων τῆς οἰκίας, τοὺς δὲ, ἀγομένους; καὶ μὴν οἰκία καὶ ναῦς κατὰ τὴν οἰκονομίαν, λίαν ἀλλήλαις ἐοίκασιν. ὁ μὲν γὰρ δεσπότης, καθάπερ τις κυβερνήτης, τῶν τῆς οἰκίας οἰάκων ἐπειλημμένος, τοῖς πᾶσιν ἐφέστηκεν. ὁ δὲ τῶν οἰκετῶν πρωτεύων, ὁ τῶν ἄλλων ἁπάντων τὴν ἡγεμονίαν πεπιστευμένος, τὸν πρωρέα μιμούμενος, διδάσκει τὸν δεσπότην ἃ νομίζει συμφέρειν. τῶν δὲ ἄλλων οἰκετῶν, οἱ μὲν, ναύταις παραπλησίως, μερικαῖς ἐγκεχειρισμένοι φροντίσι, τὰ κελευόμενα πράττουσιν. οἱ δὲ λοιποὶ δίκην πλωτήρων ἐν μέσῳ τούτων εἰσὶ, ὑπὸ τούτων ἰθυνόμενοι, καὶ τῶν ἀναγκαίων διὰ τούτων τυγχάνοντες. τί δήποτε τοίνυν σκάφος μὲν οὕτω κυβερνώμενον ἐπαινεῖς, οἰκίαν δὲ τὴν αὐτὴν δεχομένην οἰκονομίαν σκώπτων διατελεῖς; ἐγὼ δὲ ἡγοῦμαί σε καὶ στρατείαν ἐπαινεῖν, ἧς ἡγεῖται μὲν ὁ στρατηγὸς, φυλάττουσι δὲ τοὺς λόχους οἱ λοχαγοί, ἐν κόσμῳ δὲ τὰς τάξεις ἄγουσιν οἱ ταξίαρχαι. ἑκατόνταρχοι δὲ, καὶ χιλίαρχοι τὰ παρὰ τοῦ στρατηγοῦ συνθήματα τούτοις διαπορθμεύου-

*πικρόν

κ

Ministerio de Educación, Cultura y Deporte

σι, καὶ νῦν μὲν, εἰς φάλαγγα καθιστῶσι τὴν στρατείαν. νῦν δὲ, ἐν πλινθίῳ. ἄλλοτε ἐπὶ κέρας ἄγουσιν. ἔστι δὲ ὅτε κέρας ἑκάτερον ἐπὶ πλεῖστον ἐκτείναντες, κυκλοῦσι μὲν τοὺς πολεμίους, οὐδὲ φυγεῖν ἐπιτρέποντες, ἀλλὰ πάντοθεν ὁμοίως ἀφιέντες τὰ βέλη, καὶ ἄρδην ἅπαντας ἀναιροῦντες. τούτων δὲ οὐδὲν ἐγγένει, μὴ τῆς στρατείας εἰς ἄρχοντας καὶ ἀρχομένους διῃρημένης. πολυαρχία γὰρ ἐν στρατείᾳ, μάλιστα πάντων βλαβερώτατον, εἰς πολλὰ κατατέμνουσα καὶ τὴν ὁμόνοιαν διασπῶσα. καὶ πολλαῖς βουλαῖς ἰθύνειν μὲν πειρωμένη, βλάπτουσα δὲ μᾶλλον ἢ κυβερνῶσα. πῶς τοίνυν οὐκ ἄτοπον, καὶ εὔηθες σε θαυμάζοντα τὴν τοῦ ἑνὸς προστασίαν, καὶ στρατείας ἐπαινοῦντα τὴν τάξιν, ἣν οἱ τῶν στρατηγῶν ἐργάζονται νόμοι, μέμφεσθαί σε οἰκίαν τοῦτον
*πικρὸν ἀγομένην τὸν τρόπον; ἀλλὰ *μικρὸν φησὶ τὸ δουλεύειν, κἂν τῇ ἐξουσίᾳ τοῦ δεσπότου ἔχειν τὴν τῶν ἀναγκαίων ἀπόλαυσιν, καὶ πόνοις συνεχέσι ταλαιπωρεῖσθαι. ἀλλ᾽ εἰ φιλαλήθως τῶν εἰρημένων ἕκαστον σκοπῆσαι θελήσειας, ἐρρῶσθαι φράσας τοῖς ἐριστικοῖς λόγοις, εὑρήσεις τὰ μὲν, ἀθυμίας. τὰ δὲ, πολλῆς ὠφελείας μεστά. ὁ μὲν γὰρ τῆς οἰκίας δεσπότης, πολλαῖς πολιορκεῖται φροντίσι, σκοπούμε-

Ministerio de Educación, Cultura y Deporte

νος ὅπως τοῖς οἰκείοις ποιέσῃ τὰς χρείας, ὅπως βασιλεῦσι τὴν τεταγμένην εἰσφορὰν εἰσενέγκῃ, ὅπως ἀποδῶται μὲν τῶν προσόδων τὰ περιττὰ, ὠνήσηται δὲ τὰ ἐνδέοντα. ἀγνώμων ἡ γῆ περὶ τοὺς γηπόνοις ἐγένετο, τὴν τῶν ἀνθρώπων περὶ τὸν ποιητὴν ἀγνωμοσύνην οὕτωπως μιμουμένη, ὁ δὲ αἰτιᾶται, καὶ δανειστὰς περισκοπεῖ, καὶ γραμματεῖς διαγράφει, καὶ τὴν αὐθαίρετον ἐπισπᾶται δουλείαν. ἤνεγκεν ἡ γῆ τοὺς καρπούς, καὶ βρίθεται ταῖς ὠδῖσι, καὶ τοῖς ληΐοις καλύπτεται, καὶ βαροῦσα τῷ πλήθει τοῦ καρποῦ τῶν δένδρων τοὺς κλάδους πρὸς ἑαυτὴν νεύειν καταναγκάζει, ὁ δὲ πάλιν ἑτέρως κεντεῖται, τῶν καρπῶν τοὺς ὠνητὰς περισκοπῶν οὐχ εὑρίσκει, καὶ γίνεται αὐτῷ τῆς εὐκαρπίας ἡ εὐθηνία μικρῷ τινι ἀφορητοτέρα. οὐ μόνον δὲ αὐτοῖς μεθ' ἡμέραν αἱ φροντίδες ἐπίασι, καὶ τὴν ψυχὴν περιστοιχίζουσι καὶ κακῶσιν, ἀλλὰ καὶ νύκτωρ χαλεπώτερον πολεμοῦσιν. ἡσυχάζουσα γὰρ ἡ ψυχὴ, καὶ τῶν ἔξωθεν πραγμάτων ἀπηλλαγμένη, ἀκριβέστερον τῶν οἰκείων, ἢ ἀγαθῶν, ἢ κακῶν ἐπαισθάνεται. ὁ δὲ οἰκέτης τῷ σώματι δουλεύων, ἐλευθέραν ἔχει τὴν ψυχὴν, τούτων ἁπάντων ἀπηλλαγμένην. οὐ γὰρ ὀδύρεται γῆς ἀκαρπίαν, οὐδὲ ὠνίων



Ministerio de Educación, Cultura y Deporte

ἀπρασίαν ὀλοφύρεται. οὐκ ἀλγύνεται τὴν δαπάνην θεωρῶν, οὐδὲ διὰ πρακτόρων ἐσμόν. δικαστηρίοις προσεδρεύειν οὐκ ἀναγκάζεται, οὐδὲ δειμαίνει τοῦ κήρυκος τὴν φωνὴν, οὐδὲ δικαστὴν βλοσυρὸν δεικνύντα τὸ ὄμμα. μέτρῳ λαμβάνει τὸ σιτηρέσιον, ἀλλὰ φροντίδος ἀπηλλαγμένον. ἐπ' ἐδάφους καθεύδει, ἀλλ' οὐ μεριμνᾷ. τὸν ὕπνον ἐξελκύνει, ἀλλὰ γλυκὺς αὐτοῦ τοῖς βλεφάροις ἐπιχεόμενος, οὐκ ἐᾷ τῆς τοῦ ἐδάφους ἀντιτυπίας αἰσθάνεσθαι. καὶ τοῦτο

Ἐκκλ. ε' » φυσιολογῶν ὁ σοφὸς ἔλεγε. γλυκὺς ὁ ὕπνος τοῦ δούλου. ἑνὶ χιτωνίῳ τὸ σῶμα καλύπτει, ἀλλὰ ῥωμαλεώτερον ἔχει τοῦ δεσπότου τὸ σῶμα. ἄρτον ἐσθίει πιτυρίαν, οὐδὲ μικροῦ προσοψήματος ἀπολαύων, ἀλλ' ἥδιον τοῦ δεσπότου τῆς τροφῆς ἀπολαύει. ὁ μὲν γὰρ συνεχῶς γαστριζόμενος, καὶ τοῦ κόρου τοὺς ὅρους ὑπερβαίνων, ὠθεῖ τὰ σιτία, καὶ κατ' ἀνάγκην τῇ γαστρὶ παραπέμπει. ὁ δὲ τῇ χειρὶ μετρῶν τὴν μετάληψιν, καὶ τὸν χοίνικα τὸν διδόμενον οὐ μόνον νομικῶς διαιρῶν, ὀρεγόμενος τὴν τροφὴν διαδέχεται, ἀλλὰ καὶ πέττει ῥᾳδίως, συνεργὸν λαβὼν τὸν πόνον. σὺ δὲ, τὴν μὲν δουλείαν βλέπεις, τὴν δὲ ὑγείαν οὐ βλέπεις. καὶ τὴν μὲν διακονίαν ὁρᾷς, τὴν δὲ θυμηδίαν οὐ θεωρεῖς. καὶ τοῦ μὲν πόνου κατηγορεῖς, τῆς δὲ ἀφροντισία

Ministerio de Educación, Cultura y Deporte

βίον οὐ μακαρίζεις. καὶ τὴν μὲν ὑπουργίαν διαβάλλεις, τὸν δὲ ἥδιστον ὕπνον οὐ βλέπεις. καὶ μὴν ἔδει κἀντεῦθεν τὴν τοῦ θεοῦ πρόνοιαν κατιδεῖν, καὶ τὴν τῆς οἰκονομίας ἰσότητα θεωρῆσαι. ἐπειδὴ γὰρ ἡ τῆς ἁμαρτίας ἀνάγκη, εἰς ἡγεμονίαν καὶ δουλείαν τῶν ἀνθρώπων τὴν φύσιν διένειμε, τῇ μὲν, μετὰ τῆς ἡγεμονίας, καὶ τὰς φροντίδας συνέζευξε, καὶ ἀγρυπνίας συνεκλήρωσε, καὶ νόσους πλείους ἀπένειμε. τῇ δὲ δουλείᾳ, πλείονα δέδωκε τὴν ὑγείαν, καὶ ἡδίω τῆς τροφῆς τὴν ἀπόλαυσιν, καὶ ὕπνον ἡδὺν, καὶ μακρότερον, λῦσαι τοῦ κόπου τὸ σῶμα δυνάμενον, καὶ πρὸς τοὺς πόνους αὐτὸ τῆς ὑστεραίας ἐῤῥωμενέστερον ἀποφῆναι. μὴ τοίνυν μόνους ὅρα τοὺς πόνους, ἀλλὰ καὶ τὰς τῶν πόνων ὅρα παραμυθίας, καὶ τὸν τῶν ὅλων πρύτανιν διὰ πάντων ἀνύμνει. τί δήποτε δὲ διαβάλλεις τοὺς πόνους ὁ πάντα ῥᾳδίως συκοφαντῶν; τί τῶν ἀνθρωπίνων ἀγαθῶν, δίχα πόνου κατορθοῦται; ποίαν εὐκληρίαν τῶν ἀνθρώπων ἡ φύσις, οὐ διὰ πόνων καρποῦται; τὰ ἐκ γεωπονίας ἀγαθὰ, διὰ πόνων καρπούμεθα, τοὺς τῆς εὐποιίας καρπούς. πόλεις οἰκοδομοῦμεν, μετὰ πόνου ταύτας κατασκευάζοντες. πόνων ἡγουμένων, οἰκιῶν ἀπολαύομεν, ἐσθῆτι τὸ σῶμα καλύπτομεν, ὑπο-



Ministerio de Educación, Cultura y Deporte

δήματα τοῖς ποσὶ περιτίθεμεν, σιτία παντοδαπὰ προσφερόμεθα. καὶ τί δεῖ πάσας καταλέγειν τὰς χρείας, ὧν οἱ πόνοι δημιουργοί; ἀλλ᾽ ἔοικας κηφήν τις εἶναι, καὶ ἀργίᾳ συντεθραμμένος, καὶ τῶν ἀλλοτρίων πόνων δρεπόμενος τοὺς καρποὺς, οὐδὲν δὲ αὐτοῖς συνεισφέρων τῷ βίῳ, ἀλλὰ γλῶτταν μόνην, πάντα σκώπτειν πεπιστευμένην. καὶ τὴν πολλὴν ἀδολεσχίαν, ἡ ἀργία γεγέννηκεν, ὁ γὰρ πόνοις ἐσχολακὼς, ὀλίγα μὲν φθέγγεται, πολλὰ δὲ λίαν ἐργάζεται. εἰ τοίνυν πόνῳ τῶν ἀγαθῶν ἕκαστον κατορθοῦται, μὴ διαβάλλῃς διὰ τοὺς πόνους τὴν δουλείαν ὦ φίλος. σκόπησον δὲ, ὡς καὶ πολλοὶ τῶν δεσποτῶν οὐκ ἔλαττον πονοῦσι τῶν οἰκετῶν, μᾶλλον δὲ καὶ πολλῷ πλείω, εἰ καὶ τοῖς ἔργοις καὶ τὰς φροντίδας συναριθμήσεις. σὺ μὲν οὖν τῶν νῦν ὄντων τοὺς σπουδαίους θεώρησον, ἐγὼ δέ σοι τοὺς παλαιοὺς ὑποδείξω, πλείω τῶν οἰκετῶν πεπονηκότας.

Γεν. ϛʹ. Βλέπε τὸν μὲν μακάριον Νῶε, ξύλα τέμνοντα, καὶ ταῦτα τῷ σκεπάρνῳ καθαίροντά τε, καὶ πρὸς γωνίαν εὐθεῖαν ἐξομαλίζοντα, καὶ τὴν κιβωτὸν ὡς προσετάχθη ἐκ ξύλων τετραγώνων κατασκευάζοντα, καὶ γόμφοις τὰς ἁρμονίας συνδέοντα, καὶ τούτῳ τῷ τρόπῳ πᾶσαν ὑφαίνοντα, καὶ τῇ ἀσφάλτῳ, καὶ τῇ πίσσῃ

Ministerio de Educación, Cultura y Deporte

καταχρίονται, καὶ τοῖς ὕδασι τὴν εἰσροὴν ἀπο-
τειχίζονται. τὸν δὲ μέγαν Ἀβραὰμ τὸν πα-
τριάρχην, τὸν ὀκτωκαίδεκα καὶ τριακοσίων Γεν. ιδ
οἰκογενῶν δεσπότην, αὐτουργοῦντα, καὶ τοῖς ιη.
ξένοις διακονοῦντα, καὶ εἰς τὰ βουκόλια τρέ-
χοντα, καὶ τὸ μοσχάριον ἕλκοντα, καὶ τὴν ὁ-
μόζυγα πρὸς τὴν ἀρτοποιίαν ἐπείγοντα. κἀ-
κείνην δὲ ὡσαύτως μάττουσαν τὰ ἄλευρα, καὶ
τοὺς ἐγκρυφίας ὀπτῶσαν, καὶ ταῖς θεραπαι-
ναις τὴν διακονίαν οὐκ ἐπιτρέπουσαν. αὐτὸν
δὲ τὸν θαυμαστὸν ἐκεῖνον πρεσβύτην παρεστῶ-
τα τοῖς ξένοις, καὶ τραπέζης μὲν οὐ κοινωνοῦν-
τα, τὴν δὲ διακονίαν πληροῦντα. Βλέπε Γεν. κδ
τὴν Ῥεβέκκαν τὴν τοῦ Βαθουὴλ θυγατέρα,
τοῦ Ναχὼρ τὴν ἔγγονον, ἡλικίαν μὲν ἔχουσαν
γάμου, ὥρᾳ δὲ λάμπουσαν, καὶ θαλάμοις
ἐμφιλοχωρεῖν οὐκ ἀνεχομένην, ἀλουργοῦσαν
καὶ ὑδροφοροῦσαν, καὶ εἰς τὴν πρὸ τῆς πό-
λεως πηγὴν διαθέουσαν. καὶ οὐ μόνον οἴκαδε
τὸ ὕδωρ κομίζουσαν, ἀλλὰ καὶ τοῖς ἀφικνου-
μένοις τὴν αὐτουργίαν παρέχουσαν, καὶ αἰτου-
μένην τὸ ὕδωρ, καὶ αὐτοῖς τε καὶ ταῖς καμή-
λοις προσφέρουσαν, καὶ τῆς σωφροσύνης τὸ
καλὸν κτῆμα σῶον διαφυλάττουσαν, καὶ τὴν
παρθενίαν ἀκήρατον διασώζουσαν, καὶ τὸν πό-
νον μετὰ πάσης αἱρουμένην προθυμίας. καὶ



Ministerio de Educación, Cultura y Deporte

τούτοις ὡραϊζομένην μᾶλλον, ἢ τῷ κάλλει λαμ-
πρυνομένην. ἐν τούτοις ὁ ταύτης υἱός, ἅτε δὴ
ταύτης υἱὸς ὁ μέγας Ἰακὼβ, εἴκοσι διετέλε-
Γεν. κη' σεν ἔτη, ποιμαίνων καὶ θηείοις παλαίων, καὶ
κθ'. λ'. τῶν τῆς ἀκτῖνος λυπηρῶν ἀνεχόμενος. καὶ ὕ-
πνου κόρον λαβεῖν οὐδὲ νύκτωρ δυνάμενος.
καὶ τὰς τούτου δὲ γαμετὰς, δι' ἃς καὶ τῶν
πόνων τούτων ἠνέσχετο, πρόβατα νεμούσας
ἐν ταῖς ἱστορίαις εὑρίσκομεν. καὶ οἱ τούτου δὲ
μβ'. παῖδες, κτηνοτρόφοι τε ἦσαν, καὶ αὐτουργοί,
καὶ ποιμένες, καὶ πολλαπλάσιον τῶν οἰκε-
τῶν ὑπομένοντες πόνον. καὶ ὁ θειότατος δὲ
μωϋσῆς, τεσσαράκοντα ἔτη σχεδὸν διετέλεσε
Πράξ. ζ βιοτεύων τὸν τρόπον. καὶ ἡ τούτου δὲ γαμετὴ
ἱερέως οὖσα θυγάτηρ, πρόβατα νέμουσα, καὶ
τῶν ἀδίκων ποιμένων, διὰ τῆς τούτου βοηθείας
ἀπαλλαγεῖσα, τὴν μνηστείαν ἐδέξατο. ἀλλὰ
γὰρ περιττὸν μηκύνειν τὸν λόγον, καὶ πάντας
εἰς μέσον ἄγειν τῆς θείας γραφῆς τοὺς μετὰ πό-
νων τοῦ βίου διαδραμόντας τὸν δίαυλον. Εἰ
τοίνυν οὐκ οἰκέταις μόνον, ἀλλὰ καὶ δεσπόταις
ἴδιον τὸ πονεῖν, τίνος χάριν τῆς δουλείας διὰ
τοὺς πόνους κατηγορεῖς; τῶν μὲν γὰρ πόνων οἱ
δοῦλοι, κοινωνοὺς ἔχουσι τοὺς δεσπότας, τῶν
δὲ φροντίδων, τοῖς δεσπόταις οὐ κοινωνοῦσιν.
εἰ δὲ ὁ μὲν πόνος κοινὸς δούλων καὶ δεσποτῶν,

Ministerio de Educación, Cultura y Deporte

ἡ δὲ φροντὶς ἰδία τῶν δεσποτῶν, πῶς οὐ μα-
καρίοις κρίνομεν τοὺς τῶν φροντίδων ἀπηλ-
λαγμένους, ἀλλὰ τοῖς ἀθλίοις ἐγκαταλέγο-
μεν; Ἐπειδὴ τοίνυν ἄντικρυς ἐδείχθη κἀνταῦ-
θα τοῦ τῶν ὅλων ἡγεμόνος ἡ πρόνοια, φέ-
ρε τῶν εἰρημένων ἕκαστον εἰς ἓν συναγαγόντες
ἀνακεφαλαιωσώμεθά τε, καὶ σαφεστέραν
αὐτῶν τὴν κατανόησιν ποιησώμεθα. ἀπεδεί-
ξαμεν τοίνυν, ὡς μίαν ἐξ ἀρχῆς ὁ ποιητὴς ἐ-
δημιούργησε φύσιν, καὶ ταύτην αὐτεξουσίῳ
λόγῳ τετίμηκεν. εἶτα ὅτι εἰς οὐδὲν αὕτη τῷ
αὐθαιρέτῳ τῆς γνώμης χρησαμένη ἔρρεψε πρὸς
τὸ χεῖρον, εἰς μυρία τε πλημμελημάτων ἐξώ-
κειλεν εἴδη. ἔδει τοιγαροῦν νόμοις ἀναχαιτί-
σαι τῆς ἁμαρτίας τὴν ῥύμην, οἱ δὲ νόμοι τῶν
τιθέντων ἐδέοντο. διῃρέθη τοίνυν ἀναγκαίως
δίχα τῶν ἀνθρώπων ἡ φύσις. καὶ οἱ μὲν ἄρ-
χειν ἐτάχθησαν, οἱ δὲ ἄρχουσιν ὑπακούειν,
ἵνα τῶν νόμων ὁ φόβος, καὶ τῶν ἀρχόντων τὸ
δέος, τὴν πολλὴν τῆς κακίας καταπαύσῃ φο-
ράν. ἄρχουσι τοιγαροῦν πόλεων μὲν, ἄρχον-
τες. κωμῶν δὲ, ἡγεμόνες. στρατηγοὶ, στρα-
τείας. καὶ τούτων δὲ, κἀκείνων, οἱ βασιλεῖς.
τῆς νηὸς, ὁ κυβερνήτης. τῶν ἀθλητῶν, οἱ παι-
δοτρίβαι. ὁ γραμματιστὴς, τῶν μειρακίων. ὁ
σκυτοτόμος, τῶν φοιτητῶν. ὁ χαλκοτύπος ὡ-

Ministerio de Educación, Cultura y Deporte

σαύτως τῆς παρ᾽ αὐτοῦ μαθεῖν βουλομένων τὴν τέχνην. ἄρχει τοιγαροῦν καὶ τῆς οἰκίας ὁ δεσπότης. οὔτε γὰρ οἷόν τε δεσπότου δίχα πράττεσθαι καλῶς οἰκίαν, καὶ μαρτυροῦσιν αἱ τούτων ἐστερημέναι, παντάπασιν ἐρημούμεναι. ταύτην τὴν ἡγεμονίαν ἔχουσι καὶ τῶν ἀγγέλων οἱ δῆμοι. διδασκόμεθα γὰρ ὑπὸ τῆς θείας γραφῆς, ὡς οὐκ ἀγγέλους ἔχει μόνους, ἀλλὰ καὶ ἀρχαγγέλους οἰκήτορας ὁ ὑπὲρ κεφαλῆς ἡμῶν οὐρανός. καὶ οἱ μὲν στρατεύουσιν, οἱ δὲ ὑπακούουσιν, οἱ δὲ καὶ τὸ παρανομίας ἐλεύθερον οἰκοῦσι χωρίον. καὶ ἡ σωμάτων καὶ παθῶν ὑπερτέρα φύσις, ταύτην οὐκ ἠρνήθη τὴν τάξιν, ἀλλ᾽ οἱ μὲν εὐπειθῶς ὑπακούουσιν, οἱ δὲ κοσμίως ἡγεμονεύουσι. τί δυσχεραίνεις ἄνθρωπε, παρ᾽ ἀνθρώποις βλέπων, ἔνθα πολλὴ περὶ τὸ χεῖρον ἡ ῥοπή, τὸ ἄρχον, καὶ τὸ ἀρχόμενον; οἷον γάρ τι φάρμακον ἀλεξίκακον τοῖς τῆς ἀνομίας ἕλκεσι τὴν τῶν ἀρχόντων οἰκονομίαν ὁ ποιητὴς ἐπιτέθεικεν. ἄρχει καὶ παίδων πατήρ, καὶ παιδεύει τοὺς παῖδας ἀκολασταίνοντας, καὶ ἐπαινεῖ σωφρονοῦντας. ἄρχει καὶ παιδίων ὁ διδάσκαλος, καὶ τῆς ὁμόζυγος ὁ ἀνήρ. καὶ τῶν οἰκετῶν ὁ δεσπότης. τοὺς μὲν εὐνουστέρους ἀποδεχόμενος, καὶ τιμῆς ἀξιῶν, καὶ ἐλευθερίας πολλά

Ministerio de Educación, Cultura y Deporte

κις, τοὺς δὲ νωθεῖς καὶ κακουργεῖν εἰθισμέ-
νους παιδεύων, καὶ καλοκἀγαθίαν διδάσκων.
ταύτην τὴν τάξιν καὶ τοῖς ἱερεῦσιν δέδωκεν
ὁ τῶν ὅλων θεός. καὶ τοὺς μὲν, ἱερωσύνης ἠξίω-
σεν. τοῖς δὲ, τὴν τούτων ἡγεμονίαν ἐπίστευσε.
καὶ ἄλλα δὲ εἴδη ταγμάτων ὑπ᾿ ἐκείνοις πε-
ποίηκεν. Εἰ δὲ βλέπων ἐνίους τῶν δικαστῶν,
ἄγαν ὠμοὺς, καὶ λίαν ἀκολάστους, καὶ τινὰς
τῶν ἀρχόντων δώροις ἀπεμπολοῦντας τὸ δί-
καιον, προσπταίεις καὶ τὴν ἀντιλογίαν ὠδί-
νεις, ἐγώ σου περιλαμβάνω τὸν πονηρὸν τῆς δια-
νοίας τόκον, καὶ φημί. ὡς τοῖς τοιούτοις οὐχ
ὁ θεὸς τὴν ἡγεμονίαν ἐπίστευσεν, ἀλλ᾿ ἡ τῶν ἀρ-
χομένων πονηρία τὴν τούτων ἀρχὴν ἐπεσπά-
σατο. ὄνησιν γὰρ οὐδεμίαν παρὰ τῶν εὖ καὶ κα-
λῶς εἰσηγησαμένων ἑλκῦσαι θελήσαντες, ἀλ-
λὰ τῇ μοχθηρίᾳ τοῦ τρόπου τὴν ἐκείνων διδα-
σκαλίαν ὑβρίσαντες, τῆς θείας ἐπιμελείας
σφᾶς αὐτοὺς ἀπεστέρησαν. εἶτα τῆς θείας γυ-
μνωθέντες οἰκονομίας, τῶν τοιούτων ἡγε-
μόνων ἀπήλαυσαν, ἵνα τῇ πείρᾳ τῶν χειρό-
νων εἰς μνήμην ἔλθωσι τῶν κρειττόνων, καὶ τῆς
καλῆς καὶ ἀγαθῆς ἐκείνων ἐπιμνησθῶσι παι-
δαγωγίας. εὑρίσκομεν δὲ τὸν τῶν ὅλων θεὸν
δι᾿ ὑπερβολὴν τῆς τῶν ἀνθρώπων πονηρίας
τὰς ἡνίας ἐῶντα πολλάκις, καὶ φέρεσθαι

Ministerio de Educación, Cultura y Deporte

τῶν ἀνθρώπων ὡς ἂν θέλωσι συγχωροῦντα
τὸ γένος. καὶ διδάσκει ἡμᾶς αὐτὸς διὰ τοῦ προφήτου
Ζαχ. ια » διδάσκων, καὶ πρὸς τὸν Ἰσραὴλ ἔλεγε. καὶ εἶπον.
» οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀποθνῆσκον, ἀποθνησκέ-
» τω. καὶ τὸ ἀπολλύμενον, ἀπολλύσθω. καὶ τὰ κα-
» τάλοιπα. κατεσθιέτω ἕκαστος τὰς σάρκας τοῦ
» πλησίον αὐτοῦ. χρὴ τοιγαροῦν ἀρχόντων πο-
νηρῶν ἡγουμένων, καὶ δεσποτῶν ὠμῶν καὶ
πικρῶν οἰκίας κυβερνώντων, τὸν τῶν ὅλων
πρύτανιν ἱκετεύειν, καὶ τῇ τοῦ βίου μεταβο-
λῇ, καὶ τῇ τῶν τρόπων ἐναλλαγῇ, ἵλεω τε
ποιεῖν, καὶ ὡς ἐπικουρίαν ἐγείρειν, καὶ θερ-
μῶς ἱκετεύειν τὴν τοῦ καιροῦ δυσκολίαν με-
ταβαλεῖν. Οὐ γὰρ ὑπακούειν ῥαδίως τοῖς
εἰλικρινῶς ἀντιβολοῦσιν, ἀγαθός τε ὢν, καὶ
ἐλεεῖν πεφυκὼς, μᾶλλον δὲ ἐλέους τυγχά-
νων πηγὴ, αὐτὸς μάρτυς ἐστὶν οὕτως ἱκετεύου-
Ησα. νη. » σιν ὑπισχνούμενος καὶ λέγων. ὅτι καλέσεις,
» ἐγὼ δέ σου ὑπακούσομαι. ἔτι λαλοῦντός σου
» ἐρῶ. ἰδοὺ πάρειμι. Ὅτι δὲ οὐδὲ οἱ λίαν παράνο-
μοι, καὶ δυσσεβείᾳ πάντας ἀποκρύψαι φι-
λονεικήσαντες οἷοί τε λωβᾶσθαι σὺν τὸ λογι-
κὸν ἐρρωμένοις, καὶ τῆς δυσσεβείας ὑπάρχον-
τας ἐραστὰς, διὰ τοῦ μετὰ ταῦτα λόγου, σὺν
θεῷ φάναι, δηλώσομεν. ἐνθεῖ δὲ τοῦ πρόντος καὶ
κοινὰς καὶ ἰδίας τοῖς ἀνθρώποις δωρεὰς χο-

ρηγοῦνται, καὶ μυρίοις ὅσοις ἀγαθοῖς τὸ ἡμέτερον περικλύζονται γένος ὑμνήσωμεν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

## Ὅτι τοὺς εὖ φρονοῦντας, οὐδὲ τὸ πονηροῖς δουλεύειν δεσπόταις λυμαίνεται. λόγος, Η'.

Εγάλης μὲν εὖ οἶδα σαφῶς, καὶ γλώττης χρεία καὶ διανοίας,
μ τὴν μεγάλην οὕτω λόγων ὑπόθεσιν ἀναδέχεσθαι πειρωμένῳ. πέφυκε γάρ πως κινδυνεύειν ἐν τοῖς λόγοις τῶν πραγμάτων ἡ δόξα, τῇ γὰρ τούτων ἀσθενείᾳ καὶ ῥώμῃ φιλοῦσι κρίνειν τὰ πράγματα, οἱ μὴ τῇ φύσει τούτων, ἀλλὰ τῇ δεινότητι τῶν λόγων προσέχειν ἐθέλοντες. ἐπεὶ δὲ τῇ τῆς ὑποθέσεως δυνάμει θαῤῥήσας, οὐκ ἐμέτρησα ταύτῃ τὰ τῆς ἐννοίας κινήματα, οὐδ' ἐλογισάμην τὰς μικρὰς αὐτῆς καὶ ἐξιτήλους ὠδῖνας, ἀλλ' ἐσκόπησα μόνον ὡς δῆλόν ἐστι τοῖς εἰδέναι θέλουσι τὸ τῆς ἀληθείας φῶς, καθάπερ ἥλιος τοῖς ἐῤῥωμένοις τὰς ὄψεις. καὶ μηδενὸς γὰρ συνηγοροῦντος, βοᾷ τοῦ ποιητοῦ καὶ σωτῆρος ἡμῶν ἡ πρόνοια. οὐδὲν οὖν ἀπει-

Ministerio de Educación, Cultura y Deporte

κὸς δρᾶν ἐθέλειν, οὐδὲ μέμψεως ἄξιον παρασχὼν εἰς ὑπουργίαν τὴν γλῶτταν, τῇ πάντοθεν φορουμένῃ φωνῇ, καὶ ταύτην ἐνηχῶν τοῖς βεβυσμένοις τῶν ἀχαρίστων ὠσίν. Ὅτι μὲν οὖν καὶ πενία καὶ πλοῦτος ἀναγκαῖα τῷ βίῳ καὶ χρήσιμα, καὶ δουλείαν δέ ἵνα καὶ δεσποτείαν, καθάπερ τινὰ φάρμακα τοῖς ἕλκεσι τῆς ἁμαρτίας ὁ τῶν ψυχῶν προσήνεγκεν ἰατρός, τὴν θείαν χάριν συνεργὸν ἐσχηκότες, ἱκανῶς ἀπεδείξαμεν. Ὅτι δὲ οὐ λωβᾶται δουλεία τοῖς χρωμένοις, ἀλλὰ καὶ λίαν τοὺς βουλομένους εὐεργετεῖ, αὐτίκα, σὺν θεῷ φάναι, δειχθήσεται, τοῦτο γὰρ χθὲς ἐρεῖν ὑπεσχόμεθα. Δυνατὸν μὲν γὰρ τῷ βουλομένῳ, καὶ δίχα τῶν παλαιῶν παραδειγμάτων τοὺς συνδουλεύοντας ἐξετάσαι, καὶ θεωρῆσαι πολλοὺς ἀρετῆς φροντιστάς, καὶ τὴν δουλείαν εὐνοίᾳ κοσμοῦντας, καὶ τῆς μὲν ἀνάγκης οὐ δεομένους, γνώμῃ δὲ τὸ δέον ἐργαζομένους, καὶ τῶν δεσποτῶν τὴν θεραπείαν προαιρουμένους, καὶ τούτου χάριν καὶ ἐλευθερίας ἀξιουμένους, καὶ χρημάτων πολλῶν κυρίους γινομένους, καὶ τῆς καλῆς δουλείας τὰ ἐπίχειρα δρεπομένους. Οὐ παρέλκον δὲ ἴσως καὶ τῶν πάλαι δεδουλευκότων ὀλίγους εἰς μέσον παραγαγεῖν, καὶ γυμνῶσαι τῆς εὐσεβείας τὸν θησαυρόν, ὃν ἐκεῖνοι συνή-

γαῖον, εἰς ἔλεγχον τῶν τὴν δουλείαν διαβάλ-
λειν ἐπιχειρούντων, καὶ τῆς μείζονος βλασφη-
μίας ταύτην ἀφορμὴν ποιουμένων, καὶ κατὰ
τῆς τοῦ θεοῦ προνοίας ἐντεῦθεν ἀφιέναι τὰ
βέλη τολμώντων. Παρίτω τοιγαροῦν πρῶ-
τος ἁπάντων, ὁ πρῶτος Ἀβραὰμ τοῦ πατριάρ-
χου θεράπων. οὗτος τοίνυν ἡνίκα γεγηρακὼς
ὁ πατριάρχης ὤφθη, τῆς φύσεως τὸν ὅρον
εἰδὼς, καὶ τοῦ βίου τὸ τέλος ὁρῶν, γῆρας γὰρ
θανάτου προοίμιον, περὶ τοῦ υἱέος ἐνετέλλετο,
καὶ φέρειν αὐτῷ γυναῖκα προσέταττεν ἐκ τῆς Γεν. κδ'.
οἰκείας φυλῆς, καὶ φεύγειν τὴν τῶν ἀναγ-
καίων συγγένειαν παρηγγύα, ταῖς παλαι-
αῖς εὐλογίαις πιστεύων. τηνικαῦτα ὁ θαυμα-
στὸς οὗτος οἰκέτης, πρῶτον μὲν, ἀκριβῶς ἅ-
παντα βασανίζει τοῦ δεσπότου τὰ ῥήματα,
καὶ τὸν προσφερόμενον δεδιὼς ὅρκον, καὶ τὸν
τῆς ἁπάντων ἐπόπτην ὀρρωδῶν ὀφθαλμὸν,
πυνθάνεται πρῶτον, εἰ δεῖ τὸν υἱὸν εἰς τὴν
πατρῴαν ἀπαγαγεῖν οἰκίαν, τῆς γυναικὸς τὴν
ἐνδημίαν παραιτουμένης. τοῦ δὲ Ἀβραὰμ ἀ-
παγορεύσαντος, καὶ φήσαντος μὴ δεῖν ἀπά-
γειν, ἀλλὰ τῷ θεῷ τῷ κεκληκότι θαῤῥεῖν, καὶ
τοῖς ἐκείνου πηδαλίοις πιστεύειν. ἀπαίρει μὲν
ὁ παῖς ἐκ τῆς δεσποτικῆς οἰκίας, πολλοὺς δὲ
σταθμοὺς ὁδεύσας, εἰς τὴν χαῤῥὰν ὀψὲ τῆς ἡμέ-

Ministerio de Educación, Cultura y Deporte

ρας πρεσβύτης. καὶ τὰς μὲν καμήλους καθί-
ζει, φάρμακον τῶν πόνων τὴν ἀνάπαυλαν
προσφέρων, αὐτὸς δὲ μακρὰ χαίρειν εἰπὼν
οἷς ἐκόμιζε δώροις, καὶ πάσῃ τῇ τοῦ πλούτου
περιφανείᾳ, εἰς οὐρανὸν τὰς χεῖρας ἐκτεί-
νας, τὸν θεὸν ἱκετεύει, προμνήστορα τοῦ φοφί-
μου γενέσθαι, καὶ κατεγγυῆσαι κόρην αὐτῷ
τοῖς δεσποτικοῖς συμβαίνουσαν ἤθεσιν. ἄξιον
δὲ καὶ αὐτῶν ἐκείνων τῶν ἱκετικῶν ἀκοῦσαι
Γεν. κδ´ » ῥημάτων. κύριε γάρ φησι τοῦ κυρίου μου Α-
» βραάμ, ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕ-
» δατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν
» πόλιν, ἐκπορεύσονται ἀντλῆσαι ὕδωρ, καὶ
» ἔσται ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν
» ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ μοι πίε, καὶ τὰς
» καμήλους σου ὑδρεύσομαι ἕως ἂν παύσωνται
» πίνουσαι. ταύτην ἡτοίμασας τῷ παιδί σου
» Ἰσαάκ. καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας
» ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. τίς οὐκ ἂν ἀ-
γασθείη τῆς εὐσεβείας τὸν ἄνδρα; μᾶλλον δὲ
τίς ἂν ἀξίως τῶν εἰρημένων ἕκαστον εὐφημή-
σειεν; ἔστι γὰρ ἰδεῖν κατὰ ταυτὸν πίστει καὶ σο-
φίᾳ καὶ εὐσεβείᾳ τὴν εὐχὴν κοσμουμένην. τὸ
γάρ, πᾶσιν ἐρρῶσθαι φράσαντα, καὶ τῆς τοῦ θεοῦ
προμηθείας τὴν τῆς ἐκδημίας ὑπόθεσιν
ἀναρτῆσαι, πῶς οὐκ εὐσεβείας ἐστὶ καὶ σοφίας
τὸ ἀνώτατον;

Ministerio de Educación, Cultura y Deporte

τῆς ἀνωτάτω; τὸ δὲ τῇ τοῦ δεσπότου θαῤῥῆσαι δικαιοσύνῃ, καὶ τὸ τούτου καλέσαι θεὸν τὸν κοινὸν ἁπάντων θεόν, καὶ δι᾽ ἐκεῖνον ἐλπίσαι τέλος πάντως λήψεσθαι τὴν εὐχήν, καὶ τὴν αἴτησιν εἰς πέρας ἀχθήσεσθαι, ποίαν πίστεως ὑπερβολὴν καταλείπει; τετυχηκὼς δὲ ὧν ᾔτησε, θεοφιλὴς ἀποδέδεικται, οὐ γὰρ ἂν οὕτω ῥᾳδίως ἔτυχεν, εἰ μὴ λίαν ἦν εὔνους τῷ δεδωκότι. τὴν εὔνοιαν δὲ, ἡ τῆς ψυχῆς ἐδημιούργησεν ἀρετή. ὅτι δὲ παραυτίκα τετύχηκεν, ἡ ἱστορία διδάσκει. εἰς γὰρ τῆς εὐχῆς τὸ τέλος, ἔφθασεν ἡ Ῥεβέκκα, καὶ τὸ τῆς φιλοξενίας ἐπεδείκνυ σημεῖον. καὶ σμικρὸν ὕδωρ αἰτηθεῖσα, καὶ τὰς καμήλους ἁπάσας ποτίζειν ἐπείγεται. καὶ μετὰ πόνου τὸ ὕδωρ ἀνιμωμένη, λογικῶν καὶ ἀλόγων θεραπεύει τὸ δίψος, ἀνδρίαν ὁμοῦ καὶ φιλανθρωπίαν ἐπιδεικνυμένη, καὶ τῆς ἐν τῷ λόγῳ τῆς εὐχῆς ζωγραφηθείσης κόρης, ἀρχέτυπον φαινομένη. καὶ τῆς ἀβραμιαίας οἰκίας ἀξία δεικνυμένη, καὶ τῷ φιλοξένῳ κηδεστῇ, συνομολογοῦσαν κεκτημένη τὴν γνώμην. ἀλλὰ τί καὶ ὁ πιστὸς ἐκεῖνος οἰκέτης ᾔτησεν ἱκετεύων, οὐκ εἶδος, οὐ μέγεθος, οὐ παρειῶν ἄνθος, οὐκ ὀφθαλμῶν κάλλος, οὐκ ὀφρύων εὐθέτοις γραμμαῖς, οὐ γενύοις περιφάνειαν, οὐ πλούτου περιουσίαν;



Ministerio de Educación, Cultura y Deporte

ἀλλὰ φιλόξενον γνώμην, ἢ ποῖον τρόπον, φθέ-
γμα πρᾶον καὶ μέτριον, ἦθος ἐπιεικὲς καὶ φι-
λάνθρωπον, ἄξιόν τε τῆς δεσποτικῆς οἰκίας,
τῆς πᾶσι ξένοις ἀνεῳγμένης, τῆς εἴδη ποικί-
λα δεχομένης, καὶ πᾶσι προσφερούσης τὰ πρόσ-
φορα. ταῦτα ᾔτησε, ταῦτα ἔλαβε. καὶ οὐδὲ
Γεν. κδ εὐθὺς ἀβασανίστως ἔλαβεν, ἀλλ' ἐπάξων τῶν
γινομένων ἕκαστον, ἰδεῖν φησὶν ἐβούλετο, εἰ εὐώ-
δωκε κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. ἐπειδὴ δὲ ἅ-
παντα εἶδεν ἃ ᾔτησε σημεῖα, οὐδὲ οὕτως ἔ-
δωκε πρὸ τῆς ὑμνῳδίας τῆς μνηστείας τὰ
σύμβολα, οὐδὲ ὑφ' ἡδονῆς ἡττηθεὶς, ἐπελάθη
τοῦ δεδωκότος. ἀλλὰ τὸ δῶρον βλέπων, βλέ-
πειν ἐπίστευε καὶ τὸν τοῦ δώρου δοτῆρα, καὶ πρό-
τερον ἐκεῖνον εἰς δύναμιν ὕμνησεν, εἶθ' οὕτως
τὸ δῶρον ἐδέξατο. πυθόμενος γὰρ τίς τε εἴη,
καὶ ἐκ τίνος ἔφυ, καὶ μαθὼν ὅτι βαθουὴλ
μέν ἐστι θυγάτηρ, ἔχει δὲ καὶ καταγωγὴν καὶ
χιλὸν ταῖς καμήλοις ἀρκοῦντα, σπεύσας
Γεν. κδ ὁ παῖς, προσεκύνησε καὶ εἶπεν. εὐλογητὸς
κύριος ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ
ἐγκατέλιπε τὴν δικαιοσύνην αὐτοῦ καὶ τὴν
ἀλήθειαν ἀπὸ τοῦ κυρίου μου, ἐμέ τε εὐώδω-
κεν εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου. ἐπει-
δὴ γὰρ ὧν ᾔτησεν ἔλαβε πλείονα, οὐ μόνον
ἔδωκεν ἡ κόρη, ἀλλὰ καὶ καταγώγιον δώσειν



Ministerio de Educación, Cultura y Deporte

αὐτομάτως ἐπηγγείλατο, καὶ τροφὴν καὶ αὐ-
τῷ καὶ ταῖς καμήλοις παρέξειν ὑπέσχετο, καὶ
τὴν συγγένειαν, ἣν οὐκ ᾔτησε μεθ' ὧν ᾔτησεν ἐξ-
εῖδε πραχθεῖσαν, ὕμνοις οἷς ἠδύνατο, τὸν τῆς
χάριτος ἠμείβετο χορηγόν. καὶ ταῖς θείαις ἐ-
παγγελίαις, τὸ ἀψευδὲς ἐμαρτύρει. εὐλογη-
τὸς γάρ φησι κύριος ὁ θεὸς τοῦ κυρίου μου Α-
βραάμ. δίκαιος μὲν γάρ φησιν ὑπάρχεις,
πλείονα τῶν εὐσεβῶν ποιούμενος ἐπιμέλειαν,
καὶ τὸν σὸν μὲν εὐνοοῦν οἰκέτην, ἐμὸν δὲ χρηστὸν
δεσπότην, πάσης ἀξιῶν θεραπείας. τὴν δὲ
ἀλήθειαν σου τῶν λόγων κηρύττει τὰ πράγμα-
τα, ἐπειδὴ γὰρ τὰς ὑποσχέσεις βεβαιοῖς,
ἃς τῷ κυρίῳ μου δέδωκας. οὕτως ὑμνήσας τὸν
μεγαλόδωρον, προσφέρει τῇ κόρῃ τῆς μνη-
στείας τὰ σύμβολα. καὶ κοσμεῖ μὲν χρυσῷ τὰ
ὦτα, ὡς εὐπειθῶς καὶ μάλα ταχέως τῶν ξένων
τὰς αἰτήσεις δεχόμενα. κοσμεῖ δὲ τὰς χεῖ-
ρας ὡσαύτως, ὡς καλῶς ὑπουργούσας τῇ
μεγαλοψυχίᾳ τῆς γνώμης. Ἐπειδὴ δὲ εἰς τὴν
οἰκίαν εἰσεληλύθει, καὶ τοὺς ἐκείνης γεννήτο-
ρας ἐθεάσατο, καὶ τοῦ δεσπότου τὰς ἐντο-
λὰς ἀπεκάλυψε, καὶ τοῦ θεοῦ τὴν ἐπικουρίαν
ἐγνώρισε, καὶ θεραπείας, ἅτε δὴ γνώριμος,
πλείστης ἀπήλαυσεν, οὐδ' ὡς ἐπελάθετο τοῦ δε-
σπότου, καὶ κεντούμενος ὑπὸ φροντίδων, τὰ

διὰ τὸν δεσπότην προεῖδε; καὶ τὴν οἰκείαν ἀνάπαυ-
λαν τῆς ἐκείνου προτετίμηκε θεραπείας;
οὐδαμῶς. ἀλλὰ καὶ τοῦ τὴν κόρην φυλάττοντος,
καὶ τῆς γεννησαμένης, καὶ τοῦ τῶν ὠδίνων κοι-
νωνήσαντος μένειν ἀντιβολούντων, ἵν' ὡς ἐκ-
δημούσης τῆς κόρης πρὸς ὀλίγας γοῦν ἀπο-
λαύσωσιν ἡμέρας, οὗτος ἔλεγε, μὴ κατέχετέ
Γεν. κδ » με, ὁ κύριος εὐόδωσε τὴν ὁδόν μου. ἐκπέμ-
» ψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. καὶ
πανταχοῦ τοὺς λόγους τῇ θείᾳ προσηγορίᾳ κοσ-
μεῖ, καὶ τῶν ἀγαθῶν ἐκεῖθεν ἕλκει τὴν χο-
ρηγίαν. καὶ τὰ καθ' αὑτὸν, ἐκείνης ἀνάπτει τῆς
προμηθείας. τί τοῦτον εἰπέ μοι προσέβλαψεν
ἡ δουλεία; τίς δὲ τῶν ἐλευθερίᾳ τεθραμμένων,
καὶ ἐπ' ἐλευθέροις γαυριώντων προγόνοις, το-
σαύτην ἀρετῆς ἐπίδειξιν ἐποιήσατο; ποίαν δὲ
τῆς ἄκρας εὐσεβείας ὑπερβολὴν καταλέ-
λοιπε; Ἀλλ' ἴσως ἄν τις εἴποι τῶν συκοφαν-
τίας ῥάπτειν εἰθισμένων, καὶ τὰ καλὰ δια-
βάλλειν δεδιδαγμένων, ὡς ἡ τοῦ δεσπότου φι-
λοσοφία τοῦτον οὕτως ἐπαιδοτρίβησε, καὶ
πρὸς ἐκεῖνον ὁρῶν οἷόν τινα κάτοπτρον, εἵλ-
κυσεν ἐκεῖθεν τοὺς τῆς ἀρετῆς χαρακτῆρας.
οἱ δὲ πονηροὺς ἐσχηκότες δεσπότας, ἐκμάττον-
ται πάλιν ἐκ τοῦ ἀρχετύπου τὸ μίμημα, καὶ
τὰς τῆς πονηρίας ἀπαρχὰς ἐκεῖθεν λαμβά-



Ministerio de Educación, Cultura y Deporte

νοῦντες, ἐργάται γίνονται κακίας, ἐν ἑαυτοῖς
τὸν διδασκάλιον δεικνύντες. φέρε τοίνυν τὸ
ψεῦδος αὐτῶν διελέγξωμεν, καὶ δείξωμεν ὡς
αὐθαίρετος καὶ τῆς ἀρετῆς καὶ τῆς κακίας ἡ κτῆσις,
καὶ τὸν οὐ βουλόμενον οἰκέτην κακίας συζῆν, οὐ
δεὶς ἂν πονηρὸς ἀναγκάσειε δεσπότης. ἀγέ-
σθω δὲ εἰς μέσον ὁ θειότατος Ἰωσήφ, ὁ τῆς μὲν
γυναικὸς ἐκείνης ἔκγονος, τοῦ δὲ πατριάρχου
Ἀβραὰμ ἀπόγονος, ἐν ἥβῃ, ἐν ἀκμῇ, ἐν ὥρᾳ (τῶν
γὰρ ὡρῶν ἡ ἀκμαιοτέρα, τὸ ἔαρ τυγχάνει) ἐν
ἥβῃ μὲν ἦν τῆς ἡλικίας, εἶχε δὲ τὸ ἄνθος τοῦ χρό
νου, ὥρᾳ δὲ λάμπων κατὰ τὸ σῶμα, λαμπρο
τέραν εἶχε τοῦ σώματος τὴν ψυχήν. ἐπέρα-
στος δὲ ἦν τῷ πατρί, καὶ λίαν ἐράσμιος, οὐχ
ὡς ὀψίγονος μόνον, ἀλλ' ὡς καὶ τοῖς τρόποις συμ
βαίνων, καὶ τῆς πατρῴας ἀρετῆς ἐκμαγεῖον
ὑπάρχων. οὗτος ἐπειδὴ τοὺς ὀνείρους εἶδεν ἐ- Γεν. λζ
κείνους, καὶ τῷ πατρὶ διηγήσατο τῶν ἀδελ-
φῶν ἀκουόντων, πολεμεῖται μὲν εὐθὺς ὑπὸ
τοῦ φθόνου, καὶ δέχεται λοιδορίας, ἃς ὁ φθό
νος ἐγέννησε. χρόνου δὲ ὀλίγου διελθόντος, οἱ
τῶν ὀνείρων τὴν εὔκλειαν οὐκ ἐνεγκόντες, ἀφι
κνούμενον πρὸς αὐτοὺς τὸ μειράκιον θεασάμε
νοι, ἐπιτρέχουσι μὲν ὡς θῆρες ἀρνίῳ ποίμνης
κεχωρισμένῳ, καὶ τῆς τοῦ ποιμένος κηδεμο-
νίας γεγυμνωμένῳ. καὶ μήτε τοῦ πατρὸς τὴν



Ministerio de Educación, Cultura y Deporte

πολιὰν αἰδεσθέντες, μήτε τὸ γῆρας οἰκτείραντες καθάπερ τινὶ βακτηρίᾳ τῷ νέῳ σκηριπτόμενον, μὴ τὴν τῆς φύσεως οἰκονομίαν, μὴ τὸ τῆς συγγενείας δίκαιον, μὴ τὴν τοῦ εἴδους ταυτότητα, μὴ τῆς ἡλικίας τὸ ἄωρον καὶ κακίας ἀπείρατον, μὴ τὴν ἀκούσιον ὡς ἐν ὀνείροις ἡγεμονίαν, καὶ τῆς σκιᾶς ἁπάσης ἀσθενεστέραν τέως ἀρχὴν, ἐπιχείρησαν μὲν οὖν αὐτὸν τέως παραδοῦναι σφαγῇ, καὶ μιᾶναι τὰς χεῖρας αἵματι συγγενικῷ. εἶτα τοῦ Ῥουβὶμ ἀπαγορεύσαντος τὴν σφαγὴν, καὶ φυγεῖν τὴν κηλῖδα ταύτην παρακελεύσαντος, ἐν λάκκῳ τινὶ βραχὺν αὐτὸν κατακρύψαντες χρόνον, ἀπεμπολοῦσι μικρὸν ὕστερον Ἰσμαηλίταις ἐμπόροις, καὶ θεραπεύουσι τῇ πράσει τὸν φόνον, οὐδὲ βλέπειν ἀνεχόμενοι τὸν κατ᾽ ὄναρ ἡγεμονεύσαντα. τοιαύτας κομίζουσι δίκας ὑπὲρ ἐνυπνίων τίσας ὁ Ἰωσὴφ, ἄγεται μὲν εἰς τὴν Αἴγυπτον, ἀποδίδοται δὲ πάλιν τῷ Πετεφρῇ, ἀρχιμάγειρος δὲ ἦν οὗτος τοῦ βασιλέως. ἀλλὰ κἀνταῦθα γινόμενος, τὴν πατρῴαν εὐσέβειαν ἐφύλαξε, καὶ τὴν τῶν προγόνων εὐγένειαν ἀκήρατον διετήρησε, καὶ οὐ συμμετέβαλε τῷ καιρῷ τὴν γνώμην, οὐδὲ ταῖς συμφοραῖς ἠκολούθει ἡ τῶν τρόπων ἐναλλαγὴ, οὐδὲ καθάπερ χρόαν ἐνήλλαξε τὴν προαίρεσιν, ἀλλὰ καὶ

Ministerio de Educación, Cultura y Deporte

τὸν βίον ἀμείψας, καὶ ἐξ ἐλευθερίας εἰς δουλείαν μεταπεσὼν, ἐπὶ τῆς προτέρας διήρειστο γνώμης, καὶ λέγων ὁ ποιῶν καὶ πράττων, περιλάμπουσαν εἶχε τὴν αἴγλην τῷ μετώπῳ. τούτου χάριν καὶ παραυτίκα τιμῆς ἁπάσης ἀξιοῦται, καὶ τῆς δεσποτικῆς οἰκίας τοὺς οἴακας ἐγχειρίζεται. καὶ τοῖς μὲν δεσπόταις, τὴν εὔνοιαν. τοῖς δὲ ὁμοδούλοις, τὴν ἐπιείκειαν διετέλει προσφέρων. καὶ περὶ τοὺς τετολμηκότας συγγνώμων γινόμενος, τῶν ἰθυνομένων ἐποιεῖτο τὴν προσήκουσαν ἐπιμέλειαν. καὶ ἦν τούτοις κἀκείνοις ἐπέραστος. σύμμετρον γὰρ τῇ ἀρετῇ τὴν χάριν θεόθεν ἐδέχετο, μᾶλλον δὲ πολλαπλασίους τῶν πόνων ἐδρέπετο τοὺς καρπούς. διὰ τοῦτο ὅσα αὐτὸς ἐποίει, Κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ. ἀλλὰ πάλιν αὐτὸν ἐντεῦθεν, ἕτερος διεδέξατο κλύδων, καὶ τὴν τῆς δουλείας τρικυμίαν, χαλεπωτέρα πάλιν ἐδέξατο ζάλη. καὶ τὸ μὲν ἔλιπεν αὐτὸν κῦμα, τὸ δὲ κατέλαβε. καὶ διὰ τούτων καὶ πνευμάτων καὶ κυμάτων ὁ λύων, ἀβάπτιστον τὸ σκάφος διέσωσεν. ἦν γὰρ ὡς εἴρηται νέος, τῇ ἀκμῇ τῆς ἡλικίας κοσμούμενος, οἷόν τι ἄνθος τῶν καλύκων προκύψαν, τοὺς ἰούλους ἔχων ἐπὶ τὴν γένυν καθάπερ βαδίζοντας, καὶ στεφάνου δίκην παρειὰν ταινιοῦντας. αἴγλην ὥρας ἀ-

φιλεῖς, κοσμιότητι μεμιγμένην, ἐλευθερίᾳ κεκραμμένην, αἰδῶ τοῖς μετώποις ἔχων ἐγκαθημένην, πειθὼ τοῖς χείλεσιν ἐφιζάνουσαν. ταῦταῦθ' ἡ δέσποινα συνεχῶς ὁρῶσα, δέον ὠφέλειαν ἐντεῦθεν ἀρύσασθαι, εἰς τὸ τῆς ἀκολασίας βάραθρον ἐνέπεσεν. ὡς δὲ τῇ ὕλῃ τῆς θεωρίας, ἔνδοθεν τῆς ἐπιθυμίας ἡ φλὸξ εἰς ὕψος ἠγείρετο, καὶ ὁ λογισμὸς παραυτίκα τὸν σπινθῆρα μὴ κατασβέσας, μεγίστην ὕστερον τὴν πυρὰν γινομένην, οὐκέτι ἴσχυε σβέσαι, τηνικαῦτα σύμμαχον τὴν ἀναίδειαν λαβοῦσα, σαγηνεύειν λόγοις ἐπειρᾶτο τὸν νέον. ὡς δὲ κρεῖττον ἐφαίνετο τῶν δικτύων τὸ θήραμα, καὶ ῥᾳδίως τοὺς παγίτας ὑπερεπήδησε σάλικας, καὶ οἷς ποτνιωμένη προσήνεγκε λόγοις ἑταιρικοῖς καὶ ἡδονῇ κεχρωσμένοις, ἀπῆλθον ἄπρακτοι καὶ ἀνόνητοι, τηνικαῦτα λοιπὸν τοῖς λόγοις ἐρρῶσθαι φράσασα, δι' ἔργων προσφέρει τὴν πεῖραν, καὶ σύμμαχον λαβοῦσα τῶν θαλάμων τὴν ἐρημίαν, κατέχει τὸν νέον, δοῦλον αὐτὸν τῶν παθῶν, ἀλλ' οὐ δεσπότην νομίσασα. ὁ δὲ τὴν μὲν τῶν ἀνθρώπων οὐκ ἐθάῤῥησεν ἐρημίαν, τὸν δὲ πανταχοῦ παρόντα ὀφθαλμὸν ἐθεώρει. καὶ οὔτε τὴν δουλείαν ἐπὶ νοῦν ἔλαβεν, οὔτε τὴν ἐκείνης ἔδεισε δεσποτείαν, οὔτε τῆς συμφορᾶς τὸ μέγεθος, ἧς ὑπέμεινε,

Ministerio de Educación, Cultura y Deporte

λωπιζόμενος, ἀφεῖναι τὰς τῶν παθῶν ἠθέλη-
σεν ἡνίας, ὡς οὐδενὸς ἐφορῶντος τὰ ἀνθρώπι-
να, καὶ ποινὴν ἀπαιτοῦντος τοῦ ἀδικεῖν προαι-
ρουμένοις. ἀλλ' ἀντέταξε τὸν λογισμὸν καὶ δου-
λείᾳ, καὶ δεσποτείᾳ, καὶ βίου μεταβολῇ, καὶ
ἐπιθυμίας ὁρμῇ, καὶ ἡλικίᾳ πυρπολουμέ-
νῃ, καὶ λόγοις πιθανοῖς καὶ κωτίλλοις δούλῳ
παρὰ δεσποίνης προσφερομένοις, καὶ κατηγόρων
ἐρημίᾳ, καὶ προσδοκωμένῃ συκοφαντίᾳ, καὶ μυ-
ρίαις ἐντεῦθεν συμφοραῖς φυομέναις. καὶ πρῶ-
τον τοῖς τῆς δουλείας νόμοις χαίρειν εἰπών,
καὶ τὴν τοῦ συμβούλου καὶ διδασκάλου τά-
ξιν ἀναλαβών, γίνεται σωφροσύνης συνήγο-
ρος καὶ ἀκολασίας κατήγορος. καὶ τῇ πρεσβυ-
τέρᾳ ὁ νέος, καὶ τῇ δεσποίνῃ ὁ δοῦλος, καὶ τῇ
ἀνδρὶ συνεζευγμένῃ, καὶ τὴν ἐπιθυμίαν εὐ-
νόμως ἀναπιμπλᾶναι δυναμένῃ, ὁ γάμου ζυ-
γὸν οὐδέπω δεξάμενος, ἀλλὰ σφοδρὰς δεχό-
μενος τῆς ἐπιθυμίας τὰς προσβολάς, παρὰ
σωφροσύνης προσφέρει παραίνεσιν. ἄξιον δὲ
καὶ αὐτῶν ἐκείνων τῶν ἱερῶν τοῦ σώφρονος ἐ-
» πακοῦσαι ῥημάτων. Εἰ ὁ κύριός μου φησὶν οὐ Γεν. λθ
» γινώσκει οὐδὲν δι' ἐμὲ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάν-
» τα ὅσα ἐστὶν αὐτοῦ δέδωκεν εἰς τὰς χεῖράς
» μου, καὶ οὐχ ὑπάρχει ἐν τῇ οἰκίᾳ ταύτῃ, οὐδὲ
» ὑφαιρεῖται οὐδὲν ἐμοῦ πλὴν σοῦ, διὰ τὸ σὲ

Ministerio de Educación, Cultura y Deporte

„ γυναῖκα αὐτοῦ εἶναι. καὶ πῶς ποιήσω τὸ ῥῆ-
„ μα τὸ πονηρὸν τοῦτο; ἡμαρτηκὼς ἔσομαι ἐναν-
„ τίον τοῦ θεοῦ. οὐ βλέπεις φησὶν ὃν βλέπω.
σὺ μὲν γὰρ μεθύεις τῷ πάθει, ἐγὼ δὲ ταύτην οὐκ ἐδεξάμην τὴν μέθην, ἀλλ᾽ ὁρῶ τὸν τοῦδε τοῦ παντὸς κυβερνήτην, ὁρῶντα τῶν γινομένων ἕκαστον. οὐ γὰρ ἐπέχουσιν ἐκεῖνον τὸν ὀφθαλμὸν ἃ βούλεται θεωρεῖν ὄροφος, καὶ τοῖχος, καὶ θύραι κεκλεισμέναι. οὐδὲ τῆς νυκτὸς τὸ ζοφῶδες, ἐμπόδιον γίνεται τῇ θεωρίᾳ. οἶδεν οὗτος σαφῶς, καὶ τὰ τῆς διανοίας κινήματα, καὶ πρὸ τῶν ὠδίνων τοὺς λογισμοὺς ἔτι κυομένους ἀκριβῶς θεωρεῖ. τοῦτον ὁρῶν, δειμαίνω καὶ δέδοικα, καὶ ὑβρίσαι τὸν γάμον οὐκ ἀνέχομαι, τῆς φύσεως τὴν πηγὴν, τῆς εἰς τὸν βίον εἰσόδου τὴν θύραν, δι᾽ ὃν οὐ κατέλιπε τῶν ἀνθρώπων τὸ γένος, ὃς οὐκ ἐᾷ σβεσθῆναι τῷ θανάτῳ τὴν φύσιν, ἀλλὰ τῇ φυτουργίᾳ νικᾷ τὰς τοῦ τέμνοντος χεῖρας, καὶ περιγίνεται τῇ βλάστῃ τῆς τοῦ ἀμῶντος δρεπάνης, ὃς τὸ ἔαρ μιμεῖται μετὰ τὴν τοῦ χειμῶνος λῃστείαν ἀναφαινόμενον, καὶ τὰ ὑπὸ ἐκείνου γυμνούμενα πάλιν ἀμφιεννύντα. ἐδέξω ζυγὸν ὦ γύναι; στέργε τὸν ζυγόν. μὴ διαῤῥήξῃς τὴν ζεύγλην, μὴ δὲ τὰ ἐκτὸς περισκόπει, ἀλλὰ τῷ ὁμοζύγῳ πρόσεχε. σὺν ἐκείνῳ τῆς γεωργίας ἕλκειν ἐτάχθης

οὐ ἄροφον. μὴ ἀτιμάσῃς γαμηλίους νόμους, καὶ φύσεως ὅρους, μηδὲ ὑβρίσῃς εὐνὴν ὑπὸ θεοῦ τετιμημένην. ἑτέρων δεσπόζειν ἐτάχθεις, μὴ γένῃ δούλη τῶν ἡδονῶν, μὴ καθυβρίσῃς τῇ πονηρᾷ ταύτῃ δουλείᾳ τὴν δεσποτείαν, μὴ τὰς ἀνδραποδώδεις ἐπιθυμίας κυρίας τῆς ψυχῆς ἀποφήνῃς, μηδὲ ἐναλλάξῃς τὴν τάξιν, μηδὲ ἀφέλῃ τὴν ἡγεμονίαν τῶν λογισμῶν, μηδὲ τὰς ἡνίας ἐγχειρίσῃς τοῖς πάθεσιν. ἐγὼ μὲν οὖν καὶ σὲ βούλομαι τοῦ πάθους ἐλευθέραν γενέσθαι, εἰ δὲ οὐ πείθῃ, οὐδὲ θέλεις ἀπαλλαγῆναι τῆς μέθης, ἀλλ' ἐγὼ τῶν γινομένων οὐκ ἀνέχομαι, τὸ σῶμα γὰρ δοῦλος, ἀλλ' οὐ τὴν ψυχὴν ἐγενόμην. μυσάττομαι δὲ ἄλλως τὸ τοῦ πράγματος ἄδικον. πολλὰς ὑμῖν εὐεργεσίας ὀφείλων ὧν κεκτημένῃ, οὐκ ἀνέχομαι τοῖς ἐναντίοις τὸν δεσπότην ἀμείψασθαι. ἀργυρώνητος γὰρ ὤν, τῶν οἰκογενῶν προτετίμημαι. καὶ χθὲς καὶ πρῴην εἰσελθὼν εἰς τὴν ὑμετέραν οἰκίαν, ἁπάντων τὰς ἡνίας ἐδεξάμην. ἁπάντων με τῶν κατὰ τὴν οἰκίαν ἡγεμόνα κεχειροτόνηκεν ὁ δεσπότης. καὶ τὸν νεώνητον ἄνδρα, ἡγεμονεύειν ἁπάντων ἐκέλευσε. σὲ μόνην εἴσω τῶν ὅρων τῆς δεσποτείας πεποίηκε, τοῦ γάμου τοὺς νόμους αἰδούμενος. ποίοις τοίνυν ὀφθαλμοῖς ἴδω τὸν οὕτω τε-

τιμηκότα, τοιούτοις αὐτὴν ἀμειψάμενος; βδελυρὸν ὦ κεκτημένη, λήθη χαρίτων καὶ εὐεργεσιῶν ἀμνημοσύνη. χαλεπώτερον δὲ τούτων καὶ λίαν παγχάλεπον, ἀδικία. καὶ ἀδικία τοιαύτη κατ' εὐεργέτου γινομένη. φυλάττειν, οὐ κλέπτειν ἐτάχθην τοῦ δεσπότου τὰ κτήματα. οὐ γίνομαι λῃστὴς ἀντὶ φύλακος ἀσφαλοῦς. οὐχ ἅπτομαι τῶν ἔξω τῆς ἐμῆς δεσποτείας μεμενηκότων, οὐδὲ μιμοῦμαι Ἀδὰμ τὸν προπάτορα, ὃς τῶν φυτῶν λαβὼν ἁπάντων τὴν ἐξουσίαν, εἰς ἐκεῖνο τὴν χεῖρα ἐξέτεινεν, ὅπερ ἐκτὸς τῆς αὐτοῦ δεσποτείας ἐτύγχανε, καὶ τοῦ ἑνὸς ἐπιθυμήσας, τῶν ἁπάντων ἐξέπεσε. Τοιαῦτα ὁ δοῦλος ἐκεῖνος πρὸς τὴν πονηρὰν δέσποιναν ἐκείνην διέξεισι. καὶ οὔτε ἡ δουλεία αὐτὸν ἐλωβήσατο, οὔτε τῆς δεσποίνης ἡ πονηρία. μᾶλλον δὲ καὶ ἔδειξεν ἑαυτὸν, ὥσπερ χρυσὸν, ἢ λίθον λαμπρότερον. Ἐπειδὴ δὲ λέγων οὐκ ἔπεισε, καὶ βιασθεὶς ἀπέφυγε, καὶ τὸ ἱμάτιον ῥίψας γυμνὸς ἀπεπήδησε, μόνην ἔχων τῆς σωφροσύνης τὴν ἀμπεχόνην. οὐ γὰρ ᾐσχύνετο καθάπερ Ἀδὰμ μετὰ τὴν παράβασιν, ἀλλ' ἣν εἶχεν ἐκεῖνος πρὸ τῆς παραβάσεως περὶ τὴν γύμνωσιν τοῦ σώματος διάθεσιν, ταύτην ἔχων οὗτος ἐξελήλυθε. τηνικαῦτα συκοφαντεῖ μὲν ἐκείνη, καὶ πείθει τὸν ἄνδρα,

Ministerio de Educación, Cultura y Deporte

καὶ σωφροσύνης ἐπίβουλον καλεῖ τὸν ταύτης πρόμαχον. ὁ δὲ σιγῶν δέχεται τῆς δεσπότου τὴν ψῆφον, καὶ οὐκ ἀνέχεται τῆς δεσποίνης γυμνῶσαι τὴν πονηρίαν. ἀλλ' εἵλετο βεβαιῶσαι τῇ σιγῇ τὴν συκοφαντίαν, ἢ τὴν τῆς ἐπιβουλῆς ἐξηγήσασθαι τραγῳδίαν, καὶ δεσποτικὴν περιφανῶς ἀκολασίαν ἐλέγξαι. συμβουλὴν μὲν γὰρ, ἣν ἔδει, προσήνεγκεν. ἀλλ' ὡς παρ' ἐρήμην ἁλοὺς, καὶ τῷ δικάζοντι μὴ συμπαρὼν, μηδὲ τῆς κατηγορίας ἀκούων, τὴν ἐξενεχθεῖσαν τιμωρίαν ἐδέξατο, καὶ τὸ δεσμωτήριον ᾤκει, καὶ τοῖς κακούργοις συνεδεσμεῖτο, καὶ πάντα γενναίως ἔφερε τὰ δεινά. καὶ τὸ πυκνὸν τῶν συμφορῶν καὶ ἐπάλληλον, τὴν τῆς ψυχῆς οὐκ ἐλήστευσε γνώμην, οὐδὲ τὴν ἀνδρείαν αὐτῆς εἰς δειλίαν μετέβαλε. τοσαύτην δὲ εἶχε κἀν τοῖς δεινοῖς εὐφροσύνην καὶ θυμηδίαν, ὡς καὶ τοὺς ἄλλους δεσμώτας ψυχαγωγεῖν. καὶ εἰ ἀδημονοῦντας ἑώρα, παραμυθούμενος διετέλει. τεκμηριοῖ γὰρ πολλάκις τὴν τῆς ψυχῆς διάθεσιν, τῶν προσώπων ἡ θέσις, καὶ συνδιατίθεται τοῖς τῆς ἐννοίας κινήμασιν, οὐ χρόα μόνον προσώπου, ἀλλὰ καὶ κίνησις ὀφθαλμῶν, καὶ ὀφρύων συναγωγή τε καὶ ἄνεσις. καὶ τὴν μὲν τοῦ θυμοειδοῦς ἐπανάστασιν, τὸ βλοσυρὸν τῶν ὀφθαλμῶν ἐπισημαίνει.

Ministerio de Educación, Cultura y Deporte

τὸ δὲ χαροπὸν τῆς ἀθυμίας, αἱ τῶν βλεφάρων παραδηλοῦσι στολίδες, ὀργαζόμεναι τὸ μελίασμα· τὰς δὲ φροντίδας, ἡ τῶν ὀφρύων κατὰ τὸ μέσον αἰνίττεται σύνοδος· τὸν δὲ τῦφον, ἡ τούτων αὐτῶν, ἐπὶ τὸ ἄνω καμπυλοειδὴς ἀναχώρησις. Ἐπειδὴ τοίνυν τὰ πλεῖστα τῶν τῆς ψυχῆς κινημάτων ἐν τοῖς προσώποις παραδηλοῦται, ὁ θαυμάσιος ἐκεῖνος ἀθλητὴς, οἱονεί τισιν ἀγγέλοις τῆς ψυχῆς χρώμενος τοῖς προσώποις, τοὺς ἀθυμοῦντας διετέλει ψυχαγωγῶν. καί ποτε θεασάμενος δύο τοῦ βασιλέως οἰκέτας ἀθύμως διακειμένους, τόν τε ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιὸν, ἁμαρτημάτων γὰρ ἕνεκεν ἐκεῖσε καθείρχθησαν, ἀμφοῖν πρόσεισι καὶ πυνθάνεται, καὶ τῆς ἀθυμίας τὴν αἰτίαν ἀνερευνᾷ, ἄνθρωπος τοσαύταις περικλυζόμενος συμφοραῖς, ἀπόγονος μὲν τοῦ Ἀβραὰμ, ἔκγονος δὲ τοῦ Ἰσαὰκ, υἱὸς δὲ τοῦ Ἰακὼβ, πάντων αὐτῷ προσφιλέστατος, φωτὸς δίκην ὁρώμενος, ἀφορμὴ θυμηδίας ὑπάρχων, εἰς δουλείαν μεταπεσὼν, καὶ ταύτην ὑπομείνας τὴν συμφορὰν, οὐ βαρβάρων τινῶν ἀγρίων δορυάλωτον εἰληχότων, ἀλλὰ ἀδελφῶν φθόνῳ δεδουλωκότων, καὶ οὐδὲ ἀδικίαν τινὰ δεικνύντων, ἀλλὰ τοὺς ὀνείρους ἐφόδιον εἰς δυσμένειαν εἰληφότων, οὐδὲν τούτων εἰς

Ministerio de Educación, Cultura y Deporte

διαφόροις εἰληφότων, οὐδὲ τὰ μετὰ τὴν δουλείαν συμβεβηκότα, καὶ τὸν ὑπὲρ σωφροσύνης λόγον, καὶ τὴν μετὰ τὴν νίκην καταδίκην καὶ τὴν ἀντὶ στεφάνων τιμωρίαν, καὶ ἀντὶ ἀναρρήσεων δεσμωτήριον, προσιὼν τοῖς ἄλλοις ἀθυμοῦντας παρηγορεῖν, καὶ τῶν συνδεσμωτῶν ἐπυνθάνετο, λέγων· τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον; τῶν δὲ φησάντων ὀνείρους ἑωρακέναι, καὶ τῇ τῆς ἑρμηνείας ἐν- Γεν. μ.
νοίᾳ κινεῖσθαι τὸν λογισμὸν, οὐκ ἐθρήνησεν ὁ θεῖος ἐκεῖνος ἀνὴρ τῶν ὀνείρων ἀκούσας, οὐδὲ Γεν. λζ
ὠλοφύρατο τῶν οἰκείων ἀναμνησθεὶς συμφορῶν, οὐδὲ ἀφῆκε δάκρυον ἀγεννὲς, οὐδὲ ἀνῴμωξε, καὶ τῶν παθῶν τὴν τραγῳδίαν εἰς μέσον παρήγαγε. μᾶλλον δὲ οὐκ ἐγέλασε μέγα, ὀνείρων ἀκούσας, ὧν τὸ ψεῦδος πῶς περιφανῶς ἐθεώρει, οὐδὲ ἔφησε πρὸς τοὺς δεσμώτας, ἀγνοεῖτε τῶν ὀνείρων ὡς ἔοικεν ὦ φίλοι τὸ ψεῦδος, ἄπειροι τῆς τούτων ἀπάτης, ὡς εἰκὸς, ὑπάρχοντες, τὴν τούτων ἑρμηνείαν ποθεῖτε; ἐγὼ δὲ τὴν πεῖραν ἔχων διδάσκαλον, καταγελᾶν ὑμᾶς τούτων παρεγγυῶ, οὐδὲν γὰρ οὗτοι μηνύουσιν ἀληθὲς, ἀλλὰ τἀναντία πάντα τῇ ἀληθείᾳ προλέγουσιν. ἤλπισα τῶν ἀδελφῶν ἡγεμονεύειν, καὶ τῆς πατρῴας ἄρξειν οἰκίας ὀνείροις πιστεύσας ποτὲ, καὶ οὐ μόνον τῆς ἡγε-

Ministerio de Educación, Cultura y Deporte

μονίας οὐκ ἔτυχον, ἀλλὰ καὶ τῆς ἐλευθερίας
ἐκπεσὼν, δοῦλος ὁ ταλαίπωρος ἐγενόμην· καὶ
οὐδὲ δουλεύων ἐξ οὐρίων ἠνέχθην, ἀλλὰ κἀν-
ταῦθα μυρίαις περιπεσὼν τρικυμίαις, δεσμω-
τήριον οἰκεῖν ἀναγκάζομαι. μὴ τοίνυν ὑμᾶς τα-
ραττέτωσαν αἱ νυκτεριναὶ φαντασίαι. ἀλη-
θείας πόρρω τυγχάνει τῶν ὀνείρων τὸ γέ-
νος. οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν ὁ
γενναῖος ἐκεῖνος ἀνὴρ, ἀλλά φησι πρὸς αὐ-
Γεν. μ΄. » τούς. οὐχὶ διὰ τοῦ θεοῦ ἡ διασάφησις αὐτῶν
» ἐστιν; ἀπαγγείλατε οὖν μοι. καὶ πανταχοῦ
τὸ θεῖον ὄνομα περιφέρει, καὶ τούτῳ τήν τε ψυ-
χὴν ὁμοῦ καὶ τοὺς λόγους κοσμεῖ. καὶ θεοῦ λέ-
γων εἶναι τὴν ἑρμηνείαν, καταθαρρεῖ ταύ-
της, ἅτε δὴ θεῖον ἑαυτὸν κατασκευάσας νεών.
ὁ δὲ ἡρμήνευε, καὶ τὰ αἰνιγματώδη, καὶ συνε-
σκιασμένα ἐγύμνου. καὶ μετὰ τὸ τέλος τῆς ἑρ-
Γεν. μ΄. » μηνείας τῷ ἀρχιοινοχόῳ φησίν. ἀλλὰ μνή-
» σθητί μου, ὅταν εὖ σοι γένηται, ὅτι κλοπῇ ἐκ-
» λάπην ἐκ γῆς ἑβραίων, καὶ ὧδε οὐκ ἐποίησα
» οὐδὲν κακὸν, καὶ ἐνέβαλόν με εἰς τὸν λάκκον
» τοῦ οἴκου τούτου. καὶ οὐδὲ τῆς ἀνάγκης ἐγκα-
λεσάσης τὴν τῶν ἀδελφῶν ἐγύμνωσε πονη-
ρίαν, ἀλλὰ πρόσω που ὑποδείκνυσι τὸ τῆς κλο-
πῆς δρᾶμα, καὶ τοὺς ἔργῳ δοῦλον πεποιηκό-
τας, λόγῳ προσειπεῖν οὐκ ἀνέχεται, ἀλλ᾽ αἰδοῖ
τῆς φύσεως

Ministerio de Educación, Cultura y Deporte

τῆς φύσεως συγκαλύπτει τὴν ἀδικίαν, οὐ μόνον δὲ τὴν τῶν ἀδελφῶν γραφὴν εἰσενεγκεῖν οὐκ ἠθέλησεν, ἀλλ' οὐδὲ τῆς δεσποίνης τὴν πονηρίαν τοῖς ἀγνοοῦσι δήλην πεποίηκε. καὶ τοσαύτην αὐτῷ συνειδὼς λαγνείαν, ἀκολασίαν, ψεῦδος, συκοφαντίαν, ἐπιβουλήν. τούτων μὲν οὐδὲν εἰς μέσον παρήγαγεν, ἁπλῶς δὲ μόνην περὶ αὐτοῦ τὴν ἀπολογίαν εἰσήνεγκεν. ὅτι κλο-
» πῇ, φησὶν, ἐκλάπην ἐκ γῆς ἑβραίων. καὶ ὧδε
» οὐδὲν κακὸν ἐποίησα. καὶ ἐνέβαλόν με εἰς τὸν
» λάκκον τοῦ ὀχυρώματος τούτου. βλέπε ῥημάτων φιλοσοφίαν. βλέπε διανοίας μεγαλοψυχίαν. βλέπε φρόνημα ἀδούλωτον καὶ ἀκατάπληκτον. βλέπε ψυχὴν τὴν αὐτὴν ἀεί. καὶ μήτε ἐν εὐημερίαις ἐπαιρομένην, μήτε ἐν δυσκληρίαις ταπεινουμένην, ἀλλὰ πάντα γελῶσαν καὶ τὰ λυπηρὰ τοῦ βίου, καὶ τὰ τερπνὰ, μόνην δὲ ἀρετὴν θαυμάζουσαν, καὶ ταύτην μετιέναι σπουδάζουσαν. τί τοίνυν ἡ τῆς δεσποίνης ἐλυμήνατο βδελυρία; τί δὲ αὐτὸν ἡ ἐκείνης ἔβλαψε πονηρία; μὴ τοίνυν οἰέσθω βλάβην εἶναι δούλων τοῦ δεσπότου τὴν μοχθηρίαν, δυνατὸν γὰρ καὶ πονηροῖς δεσπόταις δουλεύοντα, φυγεῖν παντὶ σθένει τῆς πονηρίας τὴν μίμησιν. Ὅτι δὲ οὐ δεσποτεία πονηρίας διδάσκαλος, οὔτε πλοῦτος κακίας δημιουργὸς, βλέ-

μ

Ministerio de Educación, Cultura y Deporte

περιέχον αὐτὸν τὴν μὲν δουλείαν ἀπαλλαττόμε-
νον, καὶ τὴν βασιλείαν τὰ δεύτερα λαμβάνον-
τα, καὶ τοῖς θρόνοις οὐκ ἐπαιρόμενον, ἀλλὰ τὴν
ἀρχὴν ἠπιότητι κεραννύντα, καὶ τὴν ἡγεμο-
νίαν κηδεμονίαν δεικνύντα. καὶ τοὺς ἀδελφοὺς
ὁρῶντα μὲν, φόνον ἀρτύοντας, οὐ φονῶντα
δέ. καὶ τῶν μὲν ὀνείρων ἀναμιμνησκόμενον, τοῦ
δὲ φθόνου τῶν ὀνείρων ἐπιλανθανόμενον. ὁ μὲν
Γεν. μβ΄ γὰρ λιμὸς τοὺς ἀδελφοὺς εἰς τὴν Αἴγυπτον εἵλ-
κυσεν, ἡ δὲ χρεία προσκυνεῖν ἠνάγκαζεν ἀγνο-
οῦντας τὸν προσκυνούμενον. οἱ δὲ πολεμηθέν-
τες ὄνειροι, διὰ τῶν ἐπιβουλευσάντων τὸ πέρας
ἐλάμβανον. καὶ οἱ τῶν ὀνείρων χάριν τὸν ἀδελ-
φὸν ἀποδόμενοι, ἵνα μὴ προσκυνήσωσιν ὡς προ-
εῖπον οἱ ὄνειροι, τῇ πράσει τὴν προσκύνησιν
κατεσκεύαζον. πραθεὶς γὰρ, ἐδούλευσε. δου-
λεύσας, συκοφαντίαν ὑπέμεινε. συκοφαντη-
θεὶς, ᾤκησε δεσμωτήριον. καθειρχθεὶς, τοῖς τοῦ
βασιλέως οἰκέταις τοὺς ὀνείρους ἡρμήνευσεν.
ἐκεῖθεν γίνεται τῷ βασιλεῖ γνώριμος. ἀπαλ-
λάττει θορυβούμενον ὑπὸ ὀνείρων. καὶ σαφῶς
ἑρμηνεύσας, καὶ τὸ πρακτέον συμβουλεύσας,
χειροτονεῖται λοιπὸν ὧν συνεβούλευσεν οἰκο-
νόμος. κεραννύσι τῇ φορᾷ τῶν καρπῶν, τὴν
προσδοκωμένην τῆς γῆς ἀκαρπίαν. καὶ τὴν εὐε-
τηρίαν φυλάττει φάρμακον τοῦ λιμοῦ. καὶ γίνεται

Ministerio de Educación, Cultura y Deporte

τροφοὺς οὐκ Αἰγυπτίων μόνον, ἀλλὰ καὶ τῶν ἀδελφῶν, οἳ τροφὴν αὐτὸν ἐποιήσαντο. προσκυνοῦσι τοιγαροῦν αὐτὸν ἀληθῶς οἱ τῶν ὀνείρων φθονήσαντες, καὶ οἱ τὴν ἐν ὀνείρῳ προσκύνησιν μὴ δεξάμενοι, τὴν ἀληθῆ προσκύνησιν ἐποιήσαντο. ὁ δὲ, τὴν μὲν προσκύνησιν δέχεται, τοῖς δὲ ἴσοις τοὺς ἀδελφοὺς οὐκ ἀμείβεται, ἀλλὰ τρέφει, καὶ θεραπεύει, καὶ προῖκα τοῦ σίτου δωρεῖται. καὶ τὸ τελευταῖον, τὸν ὁμογάστορα θεασάμενος ἀδελφὸν, καὶ τὸ δρᾶμα τῆς ἐπιβουλῆς ὑφήνας, ὡς εἶδεν αὐτοὺς ὑπερμαχοῦντας τοῦ νέου, καὶ τὴν τοῦ πρεσβύτου πατρὸς θεραπείαν τῆς σφῶν αὐτῶν προτιμῶντας ἐλευθερίας, τὸ προσωπεῖον ἀφελόμενος, καὶ πάντας ἔξω τοῦ δικαστηρίου γενέσθαι κελεύ-
» σας· ἐγώ φησιν εἰμὶ Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, Γεν. με'
» ὃν εἰς Αἴγυπτον ἀπέδοσθε. καὶ ἵνα μὴ παραυτίκα τῷ δέει καταπλαγέντες, τὸν τῆς ἀποπληξίας ὑπομείνωσιν ὄλεθρον, εὐθὺς ἐπή-
» γαγε λέγων· καὶ νῦν μὴ φοβεῖσθε, μηδὲ σκλη-
» ρὸν ὑμῖν φανήτω, εἰς γὰρ ζωὴν ἀπέσταλκέ με
» ὁ θεὸς ἔμπροσθεν ὑμῶν. ἵνα* δὴ γὰρ ἢ δι αὐτοὺς *
πάσης ἀπολογίας γεγυμνωμένους, καὶ τὴν γλῶτταν αὐτῶν ὑπὸ τῆς ἁμαρτίας πεπεδημένην, αὐτὸς ὁ τὰ μυρία ἐκεῖνα πεπονθὼς δεινὰ, τὴν μὲν κατηγορίαν ἐᾷ, τὴν δὲ ἀπολογίαν



Ministerio de Educación, Cultura y Deporte

» εἰσφόρει. εἰς γὰρ ζωὴν ἀπέσταλκέ με ὁ θεὸς ἔμ-
» προσθεν ὑμῶν, ἵνα διατραφῇ λαὸς πολύς.
οὐχ ὑμῶν φησὶ τὸ ἔργον, ἀλλὰ τοῦ θεοῦ. μὴ δυ-
σχεραίνετέ μου τὴν δουλείαν, θείαν οὖσαν οἰκο-
νομίαν. ἀχθέσθε τὸ δέος. οὐδὲν ἐντεῦθεν γε-
γένηται χαλεπόν. πάσης αἰγύπτου τὴν ἡγε-
μονίαν ἐδεξάμην διὰ δουλείας. διὰ ταύτης
ἔχω τῆς βασιλείας τὰ δεύτερα, καὶ τὰς ἡνίας
κατέχειν ἔθνους τοσούτου πεπίστευμαι. τοιοῦ-
τος οὗτος, καὶ δουλεύων, καὶ βασιλεύων. τοιοῦ-
τος ἐν εὐκλείᾳ καὶ δυσκλείᾳ. τοιοῦτος κα-
κοπραγῶν καὶ λίαν εὐημερῶν. οὐκοῦν οὐ πλοῦ-
τος, οὐδὲ δεσποτεία. οὐ πενία, οὐδὲ δουλεία
τὴν κακίαν γεννῶσιν. ἀλλὰ πανταχοῦ κρα-
τεῖ τὸ τῆς γνώμης αὐθαίρετον. Ὅτι δὲ οἰκετῶν
ἀρετὴν, δεσποτῶν οὐ λυμαίνεται πονηρία, καὶ
ἀφ' ἑτέρων παραδειγμάτων καταμαθεῖν εὐ-
πετές. τίς ἀγνοεῖ τῶν τὰ θεῖα πεπαιδευμένων,
τοῦ Ἀχαὰβ τὴν πονηρίαν, καὶ τῆς Ἰεζάβελ
τὴν δυσσέβειαν, καὶ τὴν κατὰ τοῦ θεοῦ λύτ-
γ'. βα- ταν; ἀλλ' ὅμως τούτοις Ἀβδιοὺ δουλεύων, καὶ
σιλ. ιζ. παρὰ τούτων οἰκονομίαν ἅπασαν πεπιστευμένος, οὐ
ιή. ιθ'. μόνον τοῖς δεσποτικοῖς οὐκ ἠκολούθησεν ἴχνε-
σιν, ἀλλὰ καὶ τὴν ἐναντίαν ἐκείνοις ὁδεύων
διετέλεσεν. οἱ μὲν γὰρ κατὰ τῶν προφητῶν τοῦ
θεοῦ μεμηνότες, ἅπαντας ἠπείγοντο παρα-

Ministerio de Educación, Cultura y Deporte

δοῦναι σφαγῇ. καὶ φυφλὴν ἡγοῦντο τῶν τοῦ θεοῦ θεραπόντων τὴν ἀναίρεσιν, παντελῶς τὸν τῆς εὐσεβείας σπινθῆρα κατασβέσαι φιλονεικοῦντος. ὁ δὲ, ταῖς τῶν δεσποτῶν ἀνοσιουργίαις ἀντηγωνίζετο, καὶ τῆς εὐσεβείας τὸν πυρσὸν σῶον φυλάττειν ἐσπούδαζε, καὶ προφήτας ἑκατὸν ἐν δύο σπηλαίοις κατακρύψας ἔτρεφε, λιμοῦ χαλεποῦ τὴν οἰκουμένην κατέχοντος, ὃν ὁ μέγας Ἠλίας ἐπεστράτευσε τοῖς ἀνθρώποις, δίκας αὐτοὺς τῆς ἀσεβείας εἰσπραττόμενος. καὶ οὔτε τῶν δεσποτῶν αὐτοῦ ἡ θηριώδης γνώμη ἐφόβησεν, οὔτε τῶν εὐσεβῶν ἐξεδειμάτωσεν ἡ σφαγή. οὔτε ἡ τοῦ λιμοῦ τυραννὶς, καὶ τῶν ἀναγκαίων ἡ σπάνις, μικρολόγον αὐτὸν περὶ τὴν τῶν ἁγίων προφητῶν θεραπείαν ἀπέφηνεν, ἀλλ' ἐκείνους μὲν τῆς ὠμότητος ἐβδελύττετο, τούτοις δὲ τὴν αὐτάρκη προσέφερε χρείαν, τῆς οἰκείας ἀσφαλείας τὴν ἐκείνων προαιρούμενος σωτηρίαν. καὶ θάνατον ἡγούμενος, τὴν ἄνευ ἐκείνων ζωήν. καὶ ἐν οἷς μὲν ἐπολεμεῖτο θεὸς, οὐδαμῶς τὴν πρέπουσαν διακονίαν τοῖς δεσπόταις προσέφερε. τοὺς δὲ κατὰ τοῦ πάντα πεποιηκότος τεθειμένους νόμους, καταγελάστους ἡγούμενος, τοὺς μὲν τεθειμένους ἐμίσει, τοὺς δὲ δρᾶν τὸ κελευόμενον ἀναγκαζομένους, ἠλέει. ὀλεβείαν δὲ τὴν τοιαύ-

γ', βασιλ. ιη'

τὴν διακονίαν ἡγούμενος, τοῦ ἀναιρεῖσθαι κελευομένοις, σωτηρίας ἠξίου. τὴν μετ' εὐσεβείας πενίαν, τῆς σὺν ἀσεβείᾳ ζωῆς, τιμιωτέραν ἡγούμενος. οὐκοῦν οὐκ ἔβλαψεν αὐτὸν ἡ τῆς δεσποτείας δουλεία, ἀλλ' ἐπίσημον ἀπέφηνε καὶ περίβλεπτον τῶν κυρίων ἡ πονηρία. οὐδὲν γὰρ γνώμης προαιρουμένης εὐσεβεῖν ἰσχυρότερον, οὐδὲν δυνατώτερον ψυχῆς κακίᾳ δουλεύειν οὐ βουλομένης. Ἀλλὰ γὰρ οὐκ οἶδα τί πάθω τῇ τῶν ἀρίστων ἀνδρῶν ἀρετῇ βιαζομένης τὸν λόγον, καὶ πέρα τοῦ μέτρου μηκύνειν ἀναγκαζούσης, φέρε τοῦτον ἐκλύσαντες, ἐφ' ἕτερον μεταβῶμεν παράδειγμα.

δ'. βασιλ. κδ' κέ. καὶ Ἱερ. λδ'

Σεδεκίας τις ἔσχατος ἐγένετο βασιλεὺς ἰουδαίων, πολλὴν καὶ αὐτὸς νοσήσας ἀσέβειαν, καὶ τῶν θείων χρησμῶν ἐπαΐειν οὐκ ἀνεχόμενος. οὗτος τὸν θειότατον Ἱερεμίαν, τηνικαῦτα προφητεύοντα καὶ διαπορθμεύοντα τοῖς ἀνθρώποις τοῦ θεοῦ τὰ θεσπίσματα, εἰς λάκκον καθῆκε δυσώδη βόρβορον ἔχοντα, ὅτι λυπηρὰ λίαν καὶ ἀλγεινὰ προηγόρευσεν.

Ἱερε. λη λθ'.

Ἀβδεμέλεχ δέ τις οἰκέτης αἰθίοψ ἐκτομίας, οὐ τῆς βασιλείας τὸν ὄγκον εἰς νοῦν λαβὼν, οὐ τὴν κρατοῦσαν ἀσέβειαν, οὐ τὴν κατὰ τοῦ προφήτου μανίαν, οὐ τῆς δουλείας τὴν συμφορὰν, ἐλέγχει μὲν τοῦ βασιλέως τὴν ἄδικον ψῆφον, κατηγορεῖ δὲ

Ministerio de Educación, Cultura y Deporte

τῆς κατὰ τοῦ προφήτου τολμηθείσης παρανομίας, καὶ τὸν τῶν γινομένων ἔφορον ὑποδείκνυσι, καὶ τῇ δικαίᾳ τιμωρίᾳ τὴν βασιλείαν δεδίττεται. καὶ γίνεται σύμβουλος τοῦ βασιλέως ὁ οἰκέτης, τοῦ ἀνδρὸς ὁ εὐνοῦχος, τοῦ ἡμεδαποῦ ὁ ὀθνεῖος, τοῦ Ἰσραηλίτου ὁ αἰθίοψ, ὁ ἐκ τοῦ Χάμ, τοῦ ἐκ τοῦ Σὰμ τὸ γένος κατάγοντος. καὶ πείθει τοῖς εὐσεβέσι λόγοις τὸν βασιλέα, καὶ ἀνάγει τὸν προφήτην ἐκ τῆς πικρᾶς ἐκείνης, καὶ ζοφώδους καὶ δυσώδους εἱρκτῆς. καὶ τὴν ἀναγκαίαν αὐτῷ χορηγεῖ τροφὴν πάντα τῆς πολιορκίας τὸν χρόνον. καὶ λαμβάνει παρὰ τοῦ θεοῦ μισθὸν τῆς εὐσεβείας, τὴν εὐλογίαν. καὶ τῆς πόλεως ἁλούσης, καὶ τῶν οἰκείων τῶν τὰ βασίλεια κατασφαγέντων, οὗτος ἀπολαύει τῆς σωτηρίας, κατὰ τὴν θείαν ὑπόσχεσιν. εὔδηλον τοίνυν ἐκ τῶν εἰρημένων, ὡς οὐ λυμαίνονται μόνον τοῖς ἀγαθοῖς οἰκέταις οἱ πονηροὶ δεσπόται, ἀλλὰ καὶ πολλὴν ἐξ ἐκείνων ὠφέλειαν καρποῦνται. καὶ τοῦτο πάλιν καὶ ἑτέρωθεν ἔξεστι καταμαθεῖν. Ἐπειδὴ γὰρ ἀνάστατος ἡ πόλις ἐκείνη διὰ τὴν πολλὴν παρανομίαν ἐγένετο, πολλοὺς δὲ ὁ πόλεμος θανάτῳ παρέπεμψε, τοὺς δ᾽ ὑπολοίπους εἰς Βαβυλῶνα δορυαλώτους ὁ τῶν Χαλδαίων ἀπήγαγε βασιλεύς. εἶτα τοὺς ἐξ εὐγενῶν πεφυκότας, καὶ

Δανιήλ β. γ. δ



Ministerio de Educación, Cultura y Deporte

ὥρᾳ σώματος λάμποντας, καὶ ἡλικίας ἀκμῇ νεανιζομένους ἀποκρίνας, ἔνδον τοῖς βασιλείοις διάγειν ἐκέλευσε, τὴν βασιλικὴν διακονίαν πληροῦντας. πρότερον δὲ αὐτοὺς ἐκέλευσε τὴν ἐκ τῆς πολιορκίας καὶ τῆς ὁδοιπορείας ἀποδύσασθαι κακουχίαν, διαίτῃ λαμπρᾷ, καὶ σιτηρεσίοις, καὶ οἴνοις ἐκ τῆς βασιλικῆς προσφερομένοις τραπέζης. Ἐνταῦθά μοι βλέπε τὴν τῶν θείων μειρακίων ἐκείνων εὐγένειαν. οὔτε γὰρ ἡ τῆς πόλεως ἅλωσις, οὐχ ὁ τοῦ θείου νεὼ ἐμπρησμὸς, οὐχ ἡ τῶν ἀδύτων καὶ ἀψαύστων ἐρημία, οὐ τὰ θεῖα σκεύη καὶ λάφυρα τῶν βαρβάρων γεγενημένα, οὐχ ἡ τῶν βασιλέων ἀναίρεσις, οὐχ ἡ τῶν ἱερέων σφαγὴ, οὐχ ἡ πόῤῥωθεν τῶν ἁγίων οἴκησις, οὐχ ἡ ἐν τῇ ἀλλοτρίᾳ διατριβὴ, οὐχ ἡ ἐρημία τῶν διδασκόντων, οὐχ ἡ τῶν κρατούντων ἀσέβεια, οὐχ ἡ τῆς δουλείας ἀνάγκη, οὐχ ὁ βαρὺς τοῦ βασιλέως ζυγὸς, οὐ τὸ τῆς ἡλικίας ἄωρον, οὐ πόθος ζωῆς, οὐ φόβος τελευτῆς, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν ἀνέπεισε μικρόν τι παραφείσασθαι, καὶ παραβῆναι τῶν τοῦ νόμου γραμμάτων. ἀλλὰ παρακαλοῦσι μὲν τὸν ἡγεμόνα σφῶν γεγενημένον, τὴν ἀπὸ σπερμάτων αὐτοῖς χορηγῆσαι τροφὴν, τὴν βασιλικὴν βδελυττόμενοι θοίνην, καὶ τὴν ποικίλην ἐκείνην μυσαττόμενοι πανδαισίαν. ἐῶ

Ministerio de Educación, Cultura y Deporte

ρων γὰρ αὐτὴν τῇ τῶν εἰδώλων μαινομένην προσηκοείᾳ. τοῦτον δὲ εἶχον θάρσος, καὶ περὶ τὸν πατρῷον θεὸν ἀγάπην καὶ πίστιν, ὡς ὑποσχέσθαι τῷ ἡγεμόνι τὴν ἀπὸ σπερμάτων τροφὴν, λαμπροτέρους αὐτοὺς ἀποδείξειν, τῶν βασιλικὰ σιτουμένων σιτία. καὶ οὐκ ἐψεύσθησαν τῆς ἐλπίδος, ἀλλὰ τῆς πίστεως ἐδρέψαντο τοὺς καρπούς. ἀπεφάνησαν γὰρ ὡς ἐπηγγείλαντο πάντων ὁμοῦ τῶν λαμπρῶς ἑστιωμένων, εὐπαθέστεροί τε καὶ εὐτραφέστεροι, καὶ ὥρᾳ πλείονι λάμποντες, καὶ ῥώμῃ κοσμούμενοι σώματος. Ἐπειδὴ δὲ ὁ χρόνος προκόπτων, καὶ εἰς ἄνδρας τελεῖν αὐτοὺς παρεσκεύασε, καὶ πεῖραν τῆς σφετέρας ἀρετῆς δεδωκότας, ἄρχειν ἔλαχον τῶν ἐγχωρίων οἱ δορυάλωτοι, τηνικαῦτα πάλιν ἕτερον αὐτοῖς ἀνοίγεται στάδιον. ὁ γὰρ ἀλαζὼν ἐκεῖνος, καὶ τῷ τύφῳ τῆς κακίας τὸν πατέρα μιμούμενος, ἀνίστησι μὲν τὴν μεγίστην εἰκόνα ἐκείνην, τὴν ἐξ ὕλης καὶ χρυσοῦ κατεσκευασμένην. παρακελεύεται δὲ πάντας ὡς θεὸν προσκυνεῖν τὴν εἰκόνα. τοῖς δὲ προσκυνεῖν οὐκ ἐθέλουσι, προὔθηκε τιμωρίαν, τὴν κάμινον ἐκείνην, ἀπληστίᾳ τροφῆς ταύτην ἐπὶ πλεῖον αὐξήσας. τότε τοίνυν πολλοὶ μὲν τῷ βασιλεῖ χαριζόμενοι, τὸ κελευόμενον ἐποίουν. πολλοὶ δὲ τὰ συνήθη δρῶντες, ὡς ἓν τῶν ἄλλων

Ministerio de Educación, Cultura y Deporte

εἰδώλων τὸ σέβας προσέφερον. ἦσαν δὲ οἱ φόβοι τῆς πυρᾶς περίκειντο τὰς ψυχάς. καὶ ὑπὸ τῆς συνειδήσεως κεντούμενοι, τὸ θεῖον σέβας ἐπὶ τὴν εἰκόνα μετέφερον. οἱ δὲ γεννάδαι ἐκεῖνοι, Ἀνανίας, Ἀζαρίας, καὶ Μισαὴλ, οἱ τοῦ νόμου τρόφιμοι, οἱ τῆς ἀβραμιαίας πίστεως κληρονόμοι, οἱ τῆς εὐσεβείας ἀθληταὶ, οἱ τῆς χάριτος πρόδρομοι, οἱ τῆς πίστεως πρόμαχοι, οἱ δοῦλοι τὰ σώματα, καὶ τὰ φρονήματα ἐλεύθεροι, οἱ αἰχμάλωτοι, καὶ βασιλέων τὰς ψυχὰς ὑψηλότεροι, οὐ μόνον ἑκόντες οὐ προσεκύνησαν τῇ εἰκόνι, ἀλλὰ καὶ κατηγορηθέντες, ἀπολογίαν μὲν οὐδεμίαν προσφέρουσιν, αὐτίκα δὲ ἀπαγορεύουσι τὴν προσκύνησιν, καὶ μεγάλῃ βοῶσι φωνῇ. ἔστι θεὸς ἐν οὐρανῷ, ᾧ ἡμεῖς

Δαν. γ

λατρεύομεν, ὃς δύναται ῥύσασθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης. καὶ ἐκ τῶν χειρῶν σου βασιλεῦ, ῥύσεται ἡμᾶς. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι ὦ βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας οὐ προσκυνοῦμεν. οὐ γὰρ ἐπὶ μισθῷ τῷ πεποιηκότι δουλεύομεν, οὐδὲ τῇ εὐσεβείᾳ τὴν σωτηρίαν ὠνούμεθα, οὐδὲ ἐκ παντὸς τρόπου ζωῆς τυχεῖν ἐφιέμεθα, ἀλλὰ στέργομεν τοῦ δεσπότου τὸ βούλημα. κἂν ἀπαλλάξῃ τῶν δεινῶν, χάριν ὁμολογοῦμεν. κἂν τούτοις περιπεσεῖν

συγχωρήσῃ, προσκυνοῦμεν. ὅτι μὲν γὰρ δύναται κρείττοις ἡμᾶς ἀφεῖναι τῆς ἀπειλουμένων τιμωριῶν, οὐδαμῶς ἀμφιβάλλομεν. εἰ δὲ καὶ βούλεται, ἀγνοοῦμεν. ἀνέφικτος γὰρ ὁ τῆς θείας προμηθείας βυθός. μὴ τοίνυν μέλλε, ἀλλὰ ταῖς εὐτρεπισμέναις παράπεμπε τιμωρίαις. ἥδιον μὲν γὰρ ἡμῖν ὁ μετ' εὐσεβείας θάνατος, τῆς σὺν ἀσεβείᾳ ζωῆς. οἱ μὲν ταῦτα ἔλεγον, ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ τῇ καμίνῳ τοὺς νεανίας παρέπεμπε. τὸ δὲ πῦρ, ἔλυσε μὲν τὸν ἐκ σιδήρου δεσμόν, αὐτοὺς δὲ ἐφύλαξεν. ἅψασθαι δὲ τῆς δοθείσης οὐκ ἠνέσχετο τροφῆς, ἔφυγε δὲ, καὶ τὰ νῶτα δέδωκε, καὶ κατὰ τῶν οἰκείων ἐχώρει προσκυνητῶν. τοὺς δὲ τοῦ θεοῦ θεράποντας, ἀκηράτους ἐφύλαττε. καὶ καινὸν καὶ παράδοξον ἐγένετο θαῦμα. οἱ μὲν γὰρ ἐν μέσῳ τοῦ πυρὸς ὄντες, καὶ ἐπ' ἀνθράκων βαδίζοντες, πεῖραν τῆς φλογὸς οὐκ ἐλάμβανον. οἱ δὲ περιεστῶτες ἔξωθεν, καὶ τῇ καμίνῳ τὴν τροφὴν χορηγοῦντες, τροφὴ τοῦ πυρὸς ἐγίνοντο. καὶ οἱ μὲν, αὐθώμοξον ἐμπιπράμενοι. οἱ δὲ ἔνδον ὑμνοῦντες ἐχόρευον, καὶ τὴν κτίσιν ἅπασαν εἰς κοινωνίαν τῆς ὑμνῳδίας ἐκάλουν. καὶ τοῖς ὑπὸ τῶν ἀνοήτων προσκυνουμένοις στοιχείοις, ὑμνεῖν τὸν εὐεργέτην ἐκέλευον. τοσαύτη δὲ ἦν τῆς θαυματουργίας ἐκείνης ἡ δύνα-

Ministerio de Educación, Cultura y Deporte

μις, ὡς αὐτὸν ἐκεῖνον δραμεῖν παρ' αὐτοὺς τὸν ἀλαζόνα καὶ μεμηνότα τύραννον, καὶ προσκυνῆσαι τοὺς τὴν τῆς εἰκόνος παραιτησαμένους προσκύνησιν, καὶ πᾶσιν ἐπιστεῖλαι τοῖς ὑπηκόοις, τὸν τούτων γεραίρειν θεόν. Οὕτως ὁ μέγας Δανιὴλ τὴν αὐτὴν τούτοις συμφορὰν ὑπομείνας, καὶ δορυάλωτος γεγονώς, καὶ μετὰ βαρβάρων βιοτεύειν ἠναγκασμένος, τὸν πατρῷον ἀκριβῶς διεφύλαττε νόμον. καὶ κατ' ἐκεῖνον πολιτευόμενος, καθαρὰν καὶ ἀκίβδηλον ἐφύλαττε τὴν ψυχήν. καὶ τοσαύτην ἠφίει τῆς ἀρετῆς τὴν αἴγλην, ὡς καὶ τὸν θηριώδη τύραννον ταῖς τοιαύταις ἀστραπαῖς καταπλῆξαι. καὶ πρῶτον μὲν δήλους τοὺς ἀγνοουμένους ὀνείρους καταστῆσαι. ἔπειτα δὲ τὸ δέον εἰσηγήσασθαι, καὶ τὸ συνοίσειν μέλλον ὑποδεῖξαι καὶ παραινέσαι. Καὶ τί δεῖ πάντα λέγειν τὰ ὑπ' ἐκείνου γεγενημένα λαμπρῶς; ὅπως μὲν ὁ βασιλεὺς τοῦ προσεύχεσθαι, καὶ τὸν θεὸν ἱκετεύειν ἀπηγόρευσεν. ὅπως δὲ οὗτος πρότερον ἐννόμως εὐχόμενος, καὶ κρύβδην τοῦτο ποιῶν, ἐπειδὴ δὲ ὁ δυσσεβὴς νόμος ἐτέθη, περιφανῶς τὸν θεὸν ἀντιβολῶν διετέλει, τοῦ νόμου καταπατῶν, καὶ τοῦ νομοθέτου καταφρονῶν. ὅπως παρεδόθη
Δαν. ϛ' τοῖς λέουσιν. ὅπως κἀκείνους κατέπληξε ταῖς τῆς εὐσεβείας ἀκτῖσι, καὶ οἷόν τισι κη-

Ministerio de Educación, Cultura y Deporte

μοῖς τοῖς τῆς θείας εἰκόνος χαρακτῆρσιν ἐπέδησεν αὐτῆς τὰ μεμηνότα στόματα. ὅπως εἵλκυσεν εἰς θεωρίαν τοῦ θαύματος τὸν δυσσεβῆ βασιλέα. ὅπως αὐτὸν ἐδίδαξεν, ὡς ὁ τῶν ἑβραίων θεὸς, πάντων ἐστὶ ποιητὴς καὶ δεσπότης. ὅπως τὴν τῶν εἰδώλων ἀπάτην διήλεγξε; δυνατὸν γὰρ τούτων ἕκαστον ἐκ τῆς ἱστορίας καταμαθεῖν. καὶ γνῶναι σαφῶς, ὡς δυνατὸν πονηροῖς δεσπόταις δουλεύοντας, μηδὲ μίαν ἐκεῖθεν ἐκμάξασθαι πονηρίαν, ἀλλὰ τὴν ἄκραν τῆς ἀρετῆς καταλαβεῖν κορυφὴν, καὶ τούτοις τῆς πλάνης ἐλευθεροῦν, καὶ πρὸς τὴν ἀλήθειαν ποδηγεῖν, καὶ πολλοῖς ἑτέροις προκεῖσθαι σωτηρίας ἀρχέτυπον. μηδεὶς τοίνυν μήτε τῆς δουλείας κατηγορείτω, μήτε τὴν πονηρὰν δεσποτείαν νικᾶν τῶν δούλων τὴν ἀρετὴν νομιζέτω, ἀλλὰ πανταχόθεν τοῦ θεοῦ τὴν προμήθειαν ὁράτω. Ἀλλὰ τί τυχὸν εἴποι τις ἄν. τί δήποτε τοὺς παρανομίᾳ συνεζηκότας ὁ τῶν *ἄλλων θεὸς τῷ βαβυλωνίων παραδέδωκε βασιλεῖ, καὶ τοὺς δικαίους εἴασε δορυαλώτους γενέσθαι; ποίας τοῦτο προνοίας ἔργον; ποίας ψήφου δικαίας; ποία δὲ οὐκ ἔστιν ἐν τούτοις ἀταξία καὶ ἀκοσμία καὶ σύγχυσις; ἀλλὰ ταῦτα λέγειν ἐπιχειροῦσιν οἱ τῆς θείας οἰκονομίας τὴν ἄβυσσον ἀγνοοῦν-

*ὅλων

Ministerio de Educación, Cultura y Deporte

τις. οἱ δὲ μεμυημένοι, καὶ τῶν θείων μυστηρίων τετυχημένοι, ἴσασι τούτων τὴν αἰτίαν καὶ εἴξαν. κήδεται γὰρ τῶν πλημμελούντων, καὶ παιδεύει ὁ φιλάνθρωπος, καὶ ἀτημέλητον οὐδένα ἀνθρώπων ἐθέλει καταλιμπάνειν. οὐ χάριν καὶ πέμπων αἰχμαλώτοις τοῖς ἰουδαίοις, συνέπεμψεν αὐτοῖς οἷόν τινας παιδοτρίβας καὶ διδασκάλους τῇ ἀρετῇ συζῶντας, ἵνα καθάπερ τινὶ λύχνῳ φωταγωγούμενοι καὶ ποδηγούμενοι τῷ τούτων βίῳ καὶ λόγῳ, τὴν ἀπλανῆ τρίβον οὔπωποτε ὀλισθώσιν. Ὅτι δὲ οὐ μόνον τοῖς ὁμοφύλοις σωτηρίας ἐγένετο πρόξενος ἡ τούτων αἰχμαλωσία, ἀλλὰ καὶ τοὺς ἀλλοφύλους ἐφώτισε τῷ τῆς θεογνωσίας φωτὶ, μάρτυς ἡ ἱστορία. Εἰ γὰρ ἐκεῖνοι αὐτοὶ μὲν διὰ τῶν ἀγώνων διέλαμψαν, καὶ περιφανεῖς ἐγένοντο, καὶ περίβλεπτοι, καὶ τοῖς ἐπιγόνοις ἀρχέτυπον ὠφελείας κατέλιπον, καὶ τοῖς συναιχμαλώτοις ὑπόθεσις σωτηρίας ἐγένοντο, καὶ τοὺς βαρβάρους ὤνησαν, ἀκραιφνῆ φυλάξαντες τὴν εὐσέβειαν, καὶ δι' ἐκείνης μεγάλα θαυματουργήσαντες θαύματα, τί τῆς προνοίας κατηγορεῖς τοιαῦτα πραγματευομένης; τί δ' οὐχὶ μᾶλλον ὑμνεῖς τὸν τῶν ψυχῶν οἰκονόμον, καὶ τῆς κτίσεως κυβερνήτην, οὕτω σοφῶς ἅπαντα καὶ συμφερόντως ἰθύνοντα

τα; ἐγὼ μὲν οὖν ἐκ τῶν θείων ὑπέδειξα λόγων, ὡς δυνατὸν πονηρῷ δεσπότῃ δουλεύοντα, κακίαν φεύγειν, καὶ ἀρετὴν μετελθεῖν, καὶ τοῖς δεσπόταις πολλὰς προφάσεις παρασχεῖν ὠφελείας. σὺ δὲ τοὺς νῦν σοι δουλεύοντας περισκόπησον, καὶ ὄψει πολλοὺς ἀκολάστοις μὲν δουλεύοντας, ἀκολασίαν δὲ βδελυττομένους, καὶ σωφροσύνην τιμῶντας, καὶ οὐδεμίαν ἐκ τῶν δεσποτῶν κακίαν ἐκματτομένους, ἀλλ' ὧν ἀρτίως διεξεληλύθαμεν ἀνδρῶν, μιμουμένους τὸν βίον. καὶ ἔκ τε τῶν εἰρημένων, ἔκ τε τῶν ὁρωμένων, καὶ τῆς ἡμετέρας φύσεως τὸ αὐτεξούσιον διδαχθεὶς, καὶ τῆς τοῦ θεοῦ προνοίας τὴν σοφίαν καταμαθὼν, παλινῳδίαν ᾆσον. καὶ τὴν νῦν ἀνακρουομένην ὑπὸ σοῦ βλασφημίαν, εἰς ὑμνῳδίαν μετάβαλε, καὶ τὰ κρούματα τῆς γλώττης τὰ νῦν κατὰ τοῦ θεοῦ γιγνόμενα, ὑπὲρ θεοῦ γινέσθω, καὶ τοῦ ποιητοῦ τὴν πρόνοιαν ᾀδέτω Χριστοῦ τοῦ θεοῦ ἡμῶν, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

Ministerio de Educación, Cultura y Deporte

Ὅτι οὐκ ἄδηλος τῆς δικαιοσύνης ὁ χρόνος, κἂν ἐν τῷ παρόντι βίῳ μὴ φαίνηται. καὶ περὶ ἀναστάσεως, ἀπὸ φυσικῶν λογισμῶν.

## Λόγος, Θ'.

Τῆς ἀγαθῆς ἐκείνης παραινέσεως ἅπαντες ἤθελον ἐπαΐειν,
E τῆς διαῤῥήδην βοώσης, χαλεπώ-
Εκκ. γ' τερά σου μὴ ζήτει, καὶ ὑψηλότερά σου μὴ ἐξέταζε, ἃ προσετάχθης οἱ, ταῦτα διανοοῦ, πολλῶν οὐκ ἂν ἐδεήθημεν λόγων, τὴν περὶ πάντας τοῦ θεοῦ προμήθειαν δεικνῦναι βουλόμενοι. λίαν γὰρ ἦν εὔπετες καὶ μάλα ῥᾴδιον, τῆς περιττῆς καὶ ματαίας πολυπραγμοσύνης ἀπηλλαγμένοις, κατιδεῖν ταύτην τῶν τοῦ παντὸς οἰάκων ἐπειλημμένην, καὶ σοφῶς ἅπαντα κυβερνῶσαν. ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων ἑκόντες ὁρᾶν οὐκ ἐθέλουσιν, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς μύουσι, καὶ τὰ ὦτα βύουσι, καὶ τῆς πανταχόθεν φερομένης φωνῆς ἐπαΐειν οὐκ ἐθέλουσι, καὶ τῶν εὖ καὶ καλῶς ὑπὸ τοῦ θεοῦ γινομένων ἕκαστον κωμῳδοῦσι, βλασφημοῦσι, διαβάλλουσι, καὶ μυρία ἅττα συνείρουσι, τὰς ψευδεῖς κατηγορίας ὑφαίνοντες, εἰκότως οἶμαι τὸν κατὰ τῆς κατηγορίας ἀνεδεξάμεθα

Ministerio de Educación, Cultura y Deporte

ξάμεθα λόγον, συκοφαντίαν οὖσαν, ἀλλ' οὐκ αἰτίαν ὀρθὴν ἀποδεῖξαι βουλόμενοι, καὶ τὴν πολεμουμένην ὑπ' αὐτῶν προμήθειαν καλέσαντες σύμμαχον, καὶ τοῦ τῆς ἀπολογίας προστησάμενοι λόγου, ὀκτὼ μὲν ἤδη διεξεληλύθαμεν λόγοις, τὴν τῶν ἀχαρίστων διελέγχοντες βλασφημίαν. καὶ τῆς ἀχαριστίας αὐτῶν κατηγόρους ὁμοῦ καὶ μάρτυρας παρηγάγομεν εἰς μέσον, οὐρανὸν, καὶ γῆν, καὶ θάλασσαν, καὶ ἀέρα, καὶ τὰ ἐν τούτοις ἅπαντα σώματα, ἔμψυχά τε καὶ ἄψυχα, λογικά τε καὶ ἄλογα, πτηνὰ καὶ πεζὰ, καὶ νηκτὰ, καὶ ἀμφίβια. καὶ πρὸς τούτοις, τὴν τῶν ἀνθρωπείων σωμάτων κατασκευήν. τὴν ἐν ἑκάστῳ τῶν μορίων διαλάμπουσαν τοῦ θεοῦ σοφίαν καὶ προμήθειαν. τὸ θεόσδοτον τοῦ λόγου δῶρον, δι' οὗ τῶν ἀνθρώπων ἡ φύσις, καὶ γεωργίαν εὗρε, καὶ ναυτιλίαν, ἰατρικήν τε καὶ γραμματικὴν ἐπιστήμην, καὶ τὰς ἄλλας πάσας τέχνας καὶ ἐπιστήμας, αἳ τῶν ἀνθρώπων τὸν βίον ἡδίω κατασκευάζουσιν. Απεδείξαμεν δὲ, σὺν θεῷ φάναι, καὶ τῶν ζώων ἡμέρων τε καὶ ἀγρίων τὴν χρείαν, καὶ πλούτου καὶ πενίας τὸ χρήσιμον, δουλείας καὶ δεσποτείας τὸ ἀναγκαῖον. εἶτα πρὸς τούτοις, ὡς μηδεμίαν πρὸς τὴν κακίαν συζῶντες δεσποτῶν ἕλκουσι βλάβην, ἢν ἐθέλωσι σωφρονεῖν, οἱ δουλεύοντες. καὶ τοῦτο ἐκ μὲν τῆς θείας γραφῆς τὰς ἀπο

ν

Ministerio de Educación, Cultura y Deporte

δείξεις εἰς μέσον ἠγάγομεν. τοῖς δὲ πικροῖς τῆς προνοίας κατηγόροις, τὸ ἔθει τοῦ παρόντος δουλευόντων τὴν ἐξέτασιν παρελίπομεν, ἔστι γὰρ καὶ νῦν ἰδεῖν μυρίους πονηροῖς μὲν δεσπόταις δουλεύοντας, οὐ μόνον δὲ τὴν δεσποτικὴν κακίαν οὐ μιμουμένους, ἀλλὰ καὶ κομιδῇ ταύτην βδελυττομένους, καὶ καλοκαγαθίαν ἀσπαζομένους, καὶ τὴν ἐναντίαν τοῖς δεσπόταις ὁδεύοντας. Ἀλλ' ἴσως πάλιν ἑτέραν ἐντεῦθεν ἀφορμὴν κατηγορίας κατὰ τῆς θείας λήψονται προμηθείας, καὶ τοὺς τῆς ἀρετῆς τροφίμους, μάταια πονεῖν φήσουσι, καὶ κατὰ πετρῶν σπείρειν, τὸ δὴ λεγόμενον, καὶ κοσκίνῳ ὕδωρ ἀντλεῖν, καὶ τοιαῦτα ἄττα δρᾶν, καρπῶν ἀγαθῶν οὐδαμῶς ἀπολαύοντας. οἱ μὲν γάρ φασι, πενίᾳ συζῶσι, καὶ ταλαιπωρίᾳ συγκεκληρωμένοι, πολὺν τὸν βίον ὁδεύουσιν. οἱ δὲ, τὸν βαρὺν ἕλκουσι τὸν δουλείας ζυγὸν, καὶ διηνεκέσιν ὑπόκεινται πόνοις. καὶ τὸ τούτου πολλῷ χαλεπώτερον, πολλοὶ γὰρ πονηρίαν μυσαττόμενοι, πονηροῖς δεσπόταις δουλεύειν ἀνέχονται. ποῖον οὖν ἔχουσί φησιν οὗτοι μισθόν; ποίας τῆς ἀρετῆς τὰς ἀντιδόσεις; ποῖα τῶν πόνων τὰ ἐπίχειρα; τίς ὁ τῶν ἱδρώτων καρπὸς; ποῖα τῶν ἀγώνων τὰ ἆθλα; οὔτε γὰρ τοὺς δουλεύειν λαχόντας ἅπαντας ἐλευθερίας ἐστὶν ἰδεῖν ἀπολαύοντας, οὔτε τοὺς

Ministerio de Educación, Cultura y Deporte

πενίᾳ μὲν συγκληρωθέντας, ἀρετῇ δὲ φροντι-
σταῖς γεγυμνασμένοις, εἰς τὴν τῶν πλουσίων μεταβαίν-
τας ὁρῶμεν κατὰ λόγον, ἀλλ' ἐν τῇ προτέρᾳ
τοὺς πλείστους ταλαιπωρίᾳ διαμεμενηκότας.
Ἀλλὰ σὺ μὲν ὦ ταλαίπωρε, καὶ χαμαίζηλε, τῇ
γαστρὶ, καὶ τῇ γνάθῳ, καὶ ταῖς ὀφρύσι τὴν εὐδαι-
μονίαν μετρεῖς, καὶ ὅρον εὐπραξίας εἶναι νομί-
ζεις ζεῦγος ὑψηλὸν, καὶ δορυφόροις, καὶ ἐφεστρί-
δας λαμπρὰς, καὶ ἵπποις ἠσκημένοις εἰς κάλ-
λος, καὶ προμετωπιδίοις, καὶ προστερνιδίοις κό-
μοις λαμπρυνομένοις, καὶ κήρυκα βοῶντα, καὶ
οἰκίαν εἰς ὕψος ἐγηγερμένην, καὶ ἀνδρῶνας
τοῖς ἐξ Εὐβοίας καὶ Θετταλίας λίθοις διηυ-
θυσμένοις, καὶ γραφικῇ τέχνῃ πεποικιλμέ-
νοις, καὶ στιβάδας, καὶ κύκλους, καὶ ἔπιπλα, καὶ ἐκ-
πώματα, καὶ οἴνους ἀνθοσμίας. καὶ πανδαισίαν
σικελικήν τε, καὶ συβαριτικήν. καὶ τὰ ἄλλα ὅ-
σα οἱ τὸν ὑγρὸν, καὶ ἀνειμένον, καὶ ἁβροδίαιτον
ἐπιτηδεύουσι βίον. ταῦτα δὲ πάντα τῶν εὖ
φρονούντων ἕκαστος, οὐ μόνον οὐκ εὐδαιμονίαν,
ἀλλὰ καὶ κακοδαιμονίαν ἐσχάτην, καὶ δυσπρα-
ξίαν εἴωθεν ὀνομάζειν. οὐδὲ γὰρ διὰ τοῦτο δέ-
δωκε τοῖς ἀνθρώποις τὸν πλοῦτον ὁ τῶν ὅλων
πρύτανις, ἵν' εἰς ἀκολασίαν αὐτὸν δαπανήσω-
σι, καὶ πονηρίας ἐφόδιον γένηται. ἀλλ' ὅπως
αὐτὸν εὖ καὶ καλῶς οἰκονομήσαντες, καὶ αὐτοὶ



Ministerio de Educación, Cultura y Deporte

τῶν δεῖ μεταλαβόντες, καὶ τοῖς δεομένοις τῶν περιττῶν μεταδιδόντες, σωφροσύνης αὐτὸν καὶ δικαιοσύνης ἀφορμὴν ὦσιν ὕλην. οὐ μόνον δὲ αὐτοὺς ὁ τῶν ὅλων θεὸς οὕτω ταῦτα διέταξε, καὶ οἱ θεῖοι ἄνδρες ἑπόμενοι τῷ δεσπότῃ τοῖς κειμένοις στέργουσιν ὅροις, ἀλλὰ καὶ ὑμεῖς οἱ τὴν ἐσχάτην ἀχαριστίαν νενοσηκότες τῶν κακῶς οὕτω τὸν πλοῦτον κεχρημένων κατηγορεῖν εἰώθατε. μᾶλλον δὲ τούτοις μὲν ἀξιοῦτε συγγνώμης, τὸν δὲ τῶν ὅλων πρύτανιν βλασφημεῖτε, ὡς πονηροῖς ἀνθρώποις τοῦ πλούτου δεδωκότα τὴν ἐξουσίαν. οὐκοῦν καὶ ὑμῖν αὐτοῖς συνδοκεῖ, μὴ τὴν τοιαύτην χλιδὴν εὐπραξίαν ὁρίζεσθαι, ἀλλὰ τὸν δίκαιον, καὶ σώφρονα βίον ἐπαίνων ἄξιον εἶναι, καὶ εὐφημίας τῆς ἀνωτάτω, καὶ εἴτ᾽ ἐν πενίᾳ, εἴτ᾽ ἐν περιουσίᾳ φανείη, τῶν ἴσων στεφάνων ἀξιοῦν. ἡγοῦμαι δὲ, ὅτι τοὺς ἐν πενίᾳ τὴν ἀρετὴν ἐπιμελουμένους, ὡς μείζονα καρτερίαν ἐπιδεικνυμένους, διπλοῖς στεφάνοις καὶ ὑμεῖς ταινιώσετε. ἀλλ᾽ οὐ τούτων ἔχουσιν οἱ τὸν θεὸν θεραπεύειν ἐσπουδακότες μισθὸν, οὐδ᾽ εἰς ταύτην ὁρῶσι τὴν ἀντίδοσιν, οἱ περὶ τοὺς θείους νόμους ἐσπουδακότες. οἶδε γὰρ πολλοῖς πολλάκις καὶ λωβᾶσθαι τῶν ἀνθρώπων ὁ ἔπαινος, χαυνοῖ γὰρ τὴν προθυμίαν, καὶ τῷ δρόμῳ λυμαίνεται. καὶ ἡγούμενός τις

Ministerio de Educación, Cultura y Deporte

αὐτὸ κατειλῆφθαι τοῦ δρόμου τὸ πέρας, ὥσπερ
γὰρ ὁ ἔπαινος ὑπανίττεται, παύεται τοῦ τρέ-
χειν, καὶ τὴν νίκην ἀφῄρηκε. ὥσπερ καὶ ὁ τῶν
ὅλων θεὸς διὰ τοῦ προφήτου παραδηλῶν ἔλε- Ἠσα. γ
» γε. λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶ-
» σιν ὑμᾶς. καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν
» ταράττουσι. διαλύουσι γὰρ τοῖς ἐπαίνοις τῆς
προθυμίας τὸ σύντονον, καὶ καταλαβεῖν
οὐκ ἐῶσι τὴν νύσσαν. οὕτως ὁ μακάριος ἔφε-
ρε Παῦλος, οὔτε τοῖς ἐπαινοῦσιν, οὔτε τοῖς
βλασφημοῦσι προσέχων, ἀλλὰ τῶν ὄπισθεν
» μὲν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπε- Φιλιππ. γ.
» κτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βρα-
» βεῖον τῆς ἄνω κλήσεως. οὐ τοίνυν μισθὸν δέ-
χονται τῶν πόνων τὸν παρὰ τῶν ἀνθρώπων
ἔπαινον, τῶν θείων νόμων οἱ φύλακες, ἀλλὰ
τὰς θείας ἀναμένουσιν ἀντιδόσεις, τὸν τῶν
ἄθλων ἀγωνοθέτην προσμένουσι, τοὺς ἀκηρά-
τους ἀναμένουσι στεφάνους, τὰ θεόσδοτα κα-
ραδοκοῦσι βραβεῖα, τοῦ δικαίου κριτοῦ τὴν ψῆ-
φον προσδέχονται, τὴν τῶν σωμάτων ἀνάστα-
σιν, τὴν εἰς οὐρανοὺς ἀνάβασιν, τὴν μετ' ἀγ-
γέλων χορείαν. καὶ πρὸ τούτων ἁπάντων, τὸ
διηνεκῶς αὐτὸν τὸν ἐρώμενον ὁρᾶν. διὸ τοῦ βίου
τὸ πέλαγος διαπερῶντες, τὰ τῆς πονηρίας ὑπε-
ρέπλευσαν κύματα, καὶ μετὰ πολλῶν διαμη-



Ministerio de Educación, Cultura y Deporte

χόμενοι πόνων, οὐκ ἠθέλησαν ὑποβρύχιοι γε-
νέσθαι, ἀλλὰ τὴν τῶν λιμένων εὐθυμίαν τοῖς
πόνοις συζεύξαντες, ὑπήρειψαν τὴν ἀηδίαν.
λιμένα δὲ ἔχουσιν οἱ τῆς ἀρετῆς εἰς ἄκρον ἐ-
ληλακότες, οὐ ζωὴν, οὐκ ἀνάστασιν, οὐκ ἄλλο
τι τῶν ἀγαθῶν, ἀλλ' αὐτὸν τὸν ποθούμενον, δι' ὃν
τρυφὴν ἡγοῦνται τὴν κακουχίαν, καὶ ὕπνου ἥ-
διστον τὴν ἐπίπονον ἐργασίαν, καὶ τὴν ἐν ἐρή-
μοις διατριβὴν, τῆς ἐν πόλεσι θυμηρεστέραν,
καὶ τὴν ἐν πενίᾳ ζωὴν, τοῦ μετὰ πλούτου λαμ-
προτέραν, καὶ τὴν πικρὰν δουλείαν, πάσης τυ-
ραννίδος ἡδίω. τούτων οἱ τῆς ἀρετῆς ἐργάται προσ-
νε'. » μένουσι τὸν μισθόν. Ἔστι γὰρ κληρονομία τοῖς θε-
» ραπευομένοις τὸν κύριον, ὡς ὁ προφήτης Ἡσα-
» ΐας βοᾷ. μαρτυρεῖ δὲ ὁ μακάριος Δαβὶδ,
εὐχαριστήριον ὕμνον ὑφαίνων τῷ δοτῆρι τῶν ἀγα-
Ψαλ. ξ'. » θῶν, καὶ λέγων· Ἔδωκας κληρονομίαν τοῖς φο-
» βουμένοις τὸ ὄνομά σου κύριε. ὁπόσα δὲ καὶ αὐ-
τὸς ὁ δεσπότης Χριστὸς ἐν τοῖς ἱεροῖς εὐαγγε-
» λίοις τοιαῦτα διεξέρχεται, Μακάριοι λέγων
Ματθ. ε' » οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βα-
» σιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πρᾳεῖς, ὅτι
» αὐτοὶ κληρονομήσουσι τὴν γῆν, καὶ τἄλλα τὰ
τούτοις ἑπόμενα, ῥᾴδιον τῷ βουλομένῳ ταῖς
θείαις ἀναπτύξαντι βίβλοις καταμαθεῖν.
Ματθ. κε' εὑρήσει γὰρ ταῦτα κἀν τῇ τῶν ταλάντων δια-

Ministerio de Educación, Cultura y Deporte

νομῇ. κἀν τῇ τῶν δέκα παρθένων παραβο-
λῇ. κἀν τῇ τῶν ἀμνῶν, καὶ τῇ τῶν ἐρίφων
τροπικῇ διαιρέσει. κἀν τῷ σπόρῳ, τῷ τὰ ζιζά- Ματθ. ιγ΄.
νια δεξαμένῳ. κἀν τῇ σαγήνῃ, ἣν καθῆκαν
μὲν οἱ χαλάσαντες εἰς τὸ πέλαγος, ἀορίστως
δὲ τοὺς ἰχθῦς ἀγρεύσαντες, οὕτω λοιπὸν ἀρί-
στην διαίρεσιν ἐποιήσαντο. μυρία δὲ τοιαῦτα
κἀν τοῖς ἀποστολικοῖς διδάγμασιν ἔστιν εὑρεῖν.
ταῦτα τοίνυν τοῖς φιλομαθέσι καταλιπὼν
ἐρευνᾶν, ὡς μῆκος ἄπειρον ἐμποιοῦντα τῷ λό-
γῳ, ἐπὶ τὰ συνεχῆ βαδιοῦμαι τοῦ λόγου. ἄλ-
λως τε δὲ καὶ περιττὸν καὶ λίαν περιέλκον τῶν τῆς
ἀρετῆς ἀντιδόσεων ἀπὸ τῆς θείας γραφῆς τὰς
ἀποδείξεις ποιήσασθαι. οἵ τε γὰρ πιστεύοντες τὸν
ἀνθρώπων τε τῶν ὅλων θεὸν, τῶν ἡμετέρων
οὐ προσδέονται λόγων, ἀλλ᾽ ἀρκοῦνται τοῖς τῆς
πίστεως ὀφθαλμοῖς, καὶ τῇ τῶν θεοπνεύστων
λογίων διδασκαλίᾳ. οἵ τε μηδέπω πεπιστευκό-
τες, ἀλλὰ τῷ τῆς ἀπιστίας κατεχόμενοι ζόφῳ,
καὶ τὴν κατὰ τοῦ πεποιηκότος ἀχαριστίαν νενο-
σηκότες, τῶν τῆς θείας γραφῆς ἐπαΐειν οὐκ
ἀνέχονται λογίων. διὰ τοῦτο τὰς ἐκεῖθεν ἀποδεί-
ξεις ἐπὶ τοῦ παρόντος καταλιπόντες, τοῖς φυσι-
κοῖς αὐτοὺς διελέγξωμεν λογισμοῖς. πυθώμε-
θα τοίνυν αὐτῶν τὴν σωφροσύνην καὶ δικαιοσύ-
νην, καὶ τἄλλα τῆς ἀρετῆς μόρια, πότερον



Ministerio de Educación, Cultura y Deporte

ἀγαθὰ νομίζοιεν εἶναι, καὶ ἀγαθῶν αἴτια, ἢ
τῇ κακίᾳ συγκαταλέγοιεν. ἀλλὰ τοῦτο οὐ
δ' αὐτὸς εἰπεῖν ὁ τῆς κακίας πατὴρ ἀνάσχοι
τ' ἂν πώποτε. πῶς γὰρ, ὅ γε τοὺς τούτου ἐργά-
τας ὡς ἐναντίους ὁσημέραι πολεμῶν, καὶ τῇ
μὲν ἀκολασίᾳ τὴν σωφροσύνην, τῇ δὲ δικαιο
σύνῃ τὴν ἀδικίαν ἀντιτάττων ἀεί; ἀνάγκη τοί-
νυν αὐτοὺς συνομολογεῖν τῷ διδασκάλῳ, καὶ
μὴ πειρᾶσθαι νικᾶν ἐν κακίᾳ τὸν ταύτην γε-
Ματθ. ι' γεννηκότα. οὐκ ἔστι γὰρ μαθητὴς ὑπὲρ τὸν διδά
Λουκ. ς σκαλον κατὰ τὴν τοῦ κυρίου φωνήν. πάλιν
τοίνυν αὐτοὺς προσερωτήσωμεν. εἰ τοίνυν κα
λὰ ταῦτα, καὶ καλῶν κάλλιστα, καὶ ἀγαθὰ
ἀγαθῶν ἄριστα, καὶ οὐδεὶς ἀντείποι μὴ ταῦθ' οὕ
τως ἔχειν μὴ σφόδρα παραπαίων, καὶ τὸ φρονεῖν
ἀφῃρημένος, προσήκει δηλονότι τοὺς τούτων ἐρ-
γάτας, καλοὺς, καὶ ἀγαθοὺς ὀνομάζεσθαι, καὶ
καρπὸν ἔχειν, οὐ μόνον τῶν πόνων ἰσόῤῥοπον,
ἀλλὰ καὶ πολλαπλάσιον. πῶς γὰρ οὐκ ἄτο-
πον, τὸν μὲν γηπόνον σπέρματα καταβάλ-
λοντα, πολλαπλάσια δρέπεσθαι τῶν πόνων
τὰ ἐπίχειρα. καὶ τὸν φυτουργὸν ὡσαύτως δένδρα
φυτεύοντα, παραψυχὴν ἔχειν τῶν καρπῶν
τὰς ὠδῖνας. τοὺς δὲ τῇ ἀρετῇ κομῶντας, καὶ
ἀλσηκόμους τοῦ θείου τούτου παραδείσου γι-
γνομένους, καὶ πολὺν μὲν ἱδρῶτα, πολὺν δὲ πό

Ministerio de Educación, Cultura y Deporte

νον εἰς τὴν τῆς ψυχῆς τούτων εἰσφέροντας ἐπι-
μέλειαν, μόνον ἄκαρπον ἔχειν τὸν πόνον, καὶ ἀγέ-
ραστον τὸν ἱδρῶτα, καὶ τοὺς μὲν σωμασκοῦντας
καὶ φωνασκοῦντας, καὶ στεφάνων ἀγλαοῦσθαι,
καὶ βραβεῖα λαμβάνειν, καὶ τοῖς παρὰ τῶν θεα-
τῶν ταινιοῦσθαι κρότοις, τὴν δὲ ἀρετὴν ἀθλη-
τικῆς καὶ πυκτικῆς ἀτιμοτέραν φανῆναι; καὶ
μήτε θεατὰς ἔχειν, μήτε ἀγωνοθέτην, μήτε γέ-
ρας, μήτε βραβεῖον, μήτε στέφανον τὸν μέγι-
στον τῶν πάντων ἀγῶνα; καὶ τραγῳδίας μὲν καὶ κωμῳ-
δίας ὑπόκειται, ἔχουσιν εἰς ὃ βλέποντες
τὴν τέχνην μετίασι, καὶ τῇ τῶν στεφάνων ἐλ-
πίδι τῶν πόνων ἀνέχονται. καὶ ἁρμάτων δὲ
ἡνίοχοι κινδύνων κατατολμῶσι τὴν νίκην
προσμένοντες, καὶ τὴν παρὰ τῶν θεατῶν ἀνα-
μένοντες εὐφημίαν. προσδέχονται δὲ καὶ τὸν
παρὰ τῶν ἱπποτρόφων μισθόν. καὶ ὁ κυβερνήτης
τοὺς λιμένας περισκοπῶν, τῶν κυμάτων καταβολ-
μαῖς, καὶ τῇ τοῦ κέρδους ἐπιθυμίᾳ ψυχαγωγού-
μενος, φέρει τῶν καταιγίδων τὰς προσβο-
λάς. καὶ ὁ σκυτοτόμος δέ, καὶ ὁ χαλκοτύπος,
καὶ ἅπας τέχνην τινὰ μεταχειριζόμενος, τὸ τέ-
λος τῶν πόνων προσδέχεται, καὶ τὴν τῆς ὠφε-
λείας ἐλπίδα τῇ περὶ τὴν τέχνην ταλαι-
πωρίᾳ παραζευγνύς, ἡδονὴν ἔχει τοῖς ἱδρῶσι
συγκεκραμένην. μόνην δὲ ὡς ἔοικε τὴν τῆς

Ministerio de Educación, Cultura y Deporte

ἀρετῆς, εἴτε τέχνην τις ὀνομάζειν ἐθέλοι, εἴτε ἐπιστήμην, ἐπὶ ἀγῶνας καὶ ἄθλους, εἴτε γεωργίαν καὶ φυτουργίαν οὐκ ἔχειν τέλος χρηστὸν ἐν καιρῷ τῶν πόνων ψυχαγωγῆσαι δυνάμενον. ἀλλὰ μάτην μὲν σωφρονοῦσιν οἱ σώφρονες, καὶ τοῖς πολλοῖς καὶ ποικίλοις ἀνταγωνίζονται πάθεσι, τὴν τούτων πυρὰν κατασβέσαι φιλονεικοῦντες. μάτην δὲ οἱ τῆς δικαιοσύνης ἐργάται τῇ ἀδικίᾳ πυκτεύουσι, τῶν τε ἀλλοτρίων ἀπεχόμενοι, καὶ τὰ οἰκεῖα προϊέμενοι. ἀχρηστος δὲ καὶ τῆς ἀνδρείας ἡ κτῆσις τοῖς μετιοῦσι, γενναίως γὰρ φέροντες τὰ προσπίπτοντα λυπηρὰ, τὸν ἀγωνοθέτην οὐκ ἔχουσιν. ἀλλ᾽ οὐκ ἔστι ταῦτα οὐκ ἔστιν. ἀξιάγαστον γὰρ καὶ ἀξιόκτητον τῆς ἀρετῆς τὸ κτῆμα. καὶ τοῦτο καὶ ὑμεῖς ἂν φαίητε, ἀπὸ τοῦ συνειδότος ἀνάγκης ὠθούμενοι. ἐμπέφυκε γὰρ αὐτὴ τοῖς ἀνθρώποις ἡ γνῶσις, καὶ οὐ δεῖται τῆς ταύτην λαχόντων τὴν κτῆσιν οὐδεὶς, λόγων ἐπεισάκτων, ἢ θεόθεν φερομένων, ἢ παρὰ ἀνθρώπων προσφερομένων. ἀρχὴ γὰρ ὁ ἔμφυτος λόγος, εἰς τὴν τούτων διδασκαλίαν. μαρτυροῦσι δὲ καὶ οἱ τῆς κακίας ἐργάται, καὶ κρύβδην αὐτὴν μετιόντες, καὶ ἐὰν φωραθῶσι, ἀπολογίας σφίσιν αὐτοῖς μηχανώμενοι. καὶ γὰρ τοιχωρύχοι, καὶ τυμβωρύχοι, καὶ λωποδύται, καὶ μοιχοὶ, καὶ ἀνδροφόνοι,

Ministerio de Educación, Cultura y Deporte

καὶ οἱ τὰ τούτων συγγενῆ μετιέναι τολμῶντες, σκότῳ συνεργῷ κεχρημένοι, ταῦτα ποιεῖν ἐθέλουσιν. εἰ δὲ καὶ μεθ' ἡμέραν τις πειραθείη τούτων τι δρᾶσαι, σύμμαχον λαμβάνει τῶν ἀνθρώπων τὴν ἐρημίαν. οὐκοῦν, δι' ὧν λανθάνειν πειρῶνται, δηλοῦσιν ἣν ἔχουσι περὶ τῶν γινομένων διάκρισιν. οὐ γὰρ ἂν ἔλαθον, εἰ καλὰ ποιεῖν ὑπέλαβον. λανθάνειν δὲ πειρώμενοι, καὶ τὸ φωραθῆναι δειμαίνοντες, ὁμολογοῦσιν ὡς πονηρὰ τὰ γινόμενα. οὐκοῦν ἰστέον καὶ ὑμεῖς ὦ λίαν ἀχάριστοι, ὡς ἀγαθὴ τῆς ἀρετῆς ἡ κτῆσις, καὶ ὡς μάλα πολλοῖς ἔχει πόνοις συνεζευγμένοις. προσήκει τοίνυν τὴν παρὰ πάντων ἐπαινουμένην, καὶ τῶν οἰκείων καὶ τῶν ἀντιπάλων, καὶ μετὰ πολλῶν πόνων καρπουμένην, ἀξίας ἔχειν τὰς ἀντιδόσεις. Ἀλλ' ὁρῶμεν κατὰ τὸν παρόντα βίον, πολλοὺς μὲν ταύτην αἱρουμένους, καὶ πολλῶν ὑπὲρ αὐτῆς πόνων ἀνεχομένους, οὐ πάντας δὲ ἐπαίνου, καὶ τιμῆς δι' αὐτὴν ἀπολαύοντας. ἀλλὰ τοὺς μὲν, ὡς ταύτης ἐραστὰς ἐν τοῖς ἁπάντων στόμασι περιφερομένους, καὶ πολυθρυλλήτους γινομένους, καὶ μετὰ τελευτὴν ἀείμνηστον ἐσχηκότας τὸ κλέος. τοὺς δὲ, παντάπασιν ἀγνοουμένους καὶ κρυπτομένους, καὶ μαργαρίτῃ προσεοικότας ἐπὶ τῷ βυθῷ καλυπτομένῳ καὶ τῷ ὀστρείῳ καθειργμένῳ. ταῦ-

Ministerio de Educación, Cultura y Deporte

τα τοίνυν ὁρῶντες, σκοπώμεθα παρ' ἡμῖν αὐ-
τοῖς, τί δήποτε τῶν τὰ θεῖα περὶ πολλοῦ ποιου-
μένων, τινὲς μὲν εἰσὶ λίαν ἐπίσημοι, τινὲς δὲ,
παντελῶς ἄσημοι. εἶτα λογιζόμεθα, ὡς δί-
καιος ὢν ὁ τῶν ὅλων ποιητὴς καὶ κριτὴς, τοῖς
οἰκείοις ἀγωνισταῖς ἀγωνοθετήσει δικαίως, καὶ
οὐκ ἀνέξεται παραφθεῖραι τὸ δίκαιον ἡ τοῦ
δικαίου πρυτάνη. ἔπειτα καὶ τούτους κἀκεί-
νους πεπλουτηκότας ὁρῶντες, καὶ τοὺς μὲν μετὰ
πολλῆς τῆς εὐκλείας, τοὺς δὲ λίαν εὐτελῶς.
ὡς τῶν τυχόντων τινὰς, λογιζόμεθα πάλιν, ὡς
ἕτερόν τινα βίον ηὐτρέπισεν, ἐν ᾧ πρὸς ἀξίαν
αὐτοὺς τοὺς εὖ βεβιωκότας ἀμείβεται. δι' ὧν
μὲν γὰρ ἐνίους περιφανείᾳ τετίμηκε, τοὺς τῆς
ἀρετῆς παρεδήλωσε στεφάνους. τῷ δὲ μὴ πάν-
τας κατὰ τὸν παρόντα βίον λαμπροὺς ἀπο-
φῆναι καὶ περιδόξους, τὸν προσδοκώμενον βίον
παραγυμνοῖ. καὶ γίνεται ἡ μὲν περὶ ἐνίους τι-
μὴ, τῆς τοῦ θεοῦ δικαιοσύνης σημεῖον. τὸ δὲ μὴ
πάντας τοὺς τούτων ἐργάτας τῶν ἴσων μεταλαγ-
χάνειν, τὸν μέλλοντα βίον τεκμηριοῖ, καὶ βε-
βαιοῖ τὴν τῶν προσδοκωμένων ἐλπίδα. τοὐτυ-
χεῖν οὐ πάντας ἀνακηρύττει κατὰ τὸν πα-
ρόντα βίον, τοὺς εὖ καὶ καλῶς βεβιωκότας
ὁ τῶν ὅλων πρύτανις, οὐδὲ πάντας ὡσαύτως
κολάζει τοὺς κακίᾳ συνεζηκότας. ἀλλὰ τοὺς

Ministerio de Educación, Cultura y Deporte

μὲν, παραδίδωσι τιμωρίᾳ, καὶ τῆς ψήφου τὸ δίκαιον παραδεικνὺς, καὶ διὰ τούτου τοὺς λοιποὺς δεδιττόμενος, καὶ εἰς μεταμέλειαν προσκαλούμενος· μὴ πάντας δὲ ἀφανίζων τοὺς πονηροὺς ἐργάτας, πάλιν ἡμῖν τὸν μέλλοντα προσημαίνει βίον. εἰ δὲ μηδεὶς ἕτερός ἐστι βίος μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, ἠδίκηνται μὲν ἄντικρυς οἱ κολασθέντες ἐνθάδε, τῶν ἄλλων διαφυγόντων τὴν δίκην, ἠδίκηνται δὲ περιφανῶς λίαν οἱ φιλοσοφίαν ἀσπαζόμενοι, θεραπείας δὲ διὰ ταύτην ἢ τιμῆς οὐδεμιᾶς ἀπολαύοντες, τῶν ἄλλων ὅμοια μὲν ἐν βίῳ κατορθωκότων, ἐν εὐκλείᾳ δὲ πολλῇ τὸν βίον διεξελθόντων. ἀλλ' ἄδικον ὀνομάζειν τὴν τῆς δικαιοσύνης πηγὴν, πάσης ἐστὶ βλασφημίας ἐπέκεινα, καὶ οὐδεμίαν μανίας ὑπερβολὴν καταλείπει. εἰ δὲ δίκαιος, ὥσπερ οὖν καὶ δίκαιος ὁ τῶν ὅλων ἔφορος, καὶ ὁρᾷ τὰ γινόμενα, καὶ κρίνει δικαίως, καὶ ἴσως κατέχει τὰ τῆς δίκης ζυγὰ, καὶ ἢν κλιθῆναι θελήσῃ, φιλανθρωπίας ψῆφον, ἀλλ' οὐκ ἀδικίας προστίθησιν, ἕτερός ἐστι ψῆφος, ἐν ᾧ καὶ οἱ διαφυγόντες τὴν τιμωρίαν ἐνθάδε, τὰς ἀξίας τίσουσι δίκας, καὶ οἱ τιμῆς οὐδεμιᾶς κατὰ τὸν παρόντα βίον ὑπὲρ τῶν τῆς ἀρετῆς ἀπολαύσαντες πόνων, κομιοῦνται τῶν ἱδρώτων τὰς ἀ-

Ministerio de Educación, Cultura y Deporte

πιδόσεις. ἀλλὰ τυχὸν καὶ ὑμεῖς ἂν συνομολογήσετε. καὶ γὰρ Ἑλλήνων παῖδες, οὐ προφήτην, οὐκ ἀπόστολον, οὐκ εὐαγγελιστὴν δεξάμενοι κήρυκα, ἀπὸ τῆς φύσεως μόνης ποδηγηθέντες, ταῦτα οὕτως ἔχειν ὑπέλαβον, εἰ καὶ πολὺ ὑπέμειναν πλάνον, τὸ μυθῶδες ταῖς ἀληθέσιν ἐγκαταμίξαντες δόξαις. ἐπεὶ καὶ ποιηταὶ καὶ φιλόσοφοι, καὶ πονηρῶν ἀνθρώπων κολάσεις, καὶ δικαίων ἀνδρῶν θεραπείας μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν ἔσεσθαι, καὶ ἐπίστευσαν καὶ ἐδίδαξαν, καὶ τὴν τῆς διδασκαλίας μνήμην διὰ τῶν συγγραμμάτων κατέλιπον. εἰκὸς τοίνυν καὶ ὑμᾶς, καὶ τῇ φύσει πειθομένους, κἀκεῖνα δεδιδαγμένους, καὶ ἀπὸ τῶν ἀρτίως εἰρημένων συνωθουμένους, συμφῆσαι, καὶ ταῦτα οὕτως ἔχειν ὁμολογῆσαι. μόνων δὲ τῶν ψυχῶν, ἢ ἄνεσιν, ἢ κόλασιν ἀποπιθοῦσαι γενέσθαι, τὸ δὲ σῶμα οὕτως ἐρρῖφθαι, τῇ σηπεδόνι παραδεδομένον, ὡς ἄχρηστον παντελῶς καὶ ἄλογον, πῶς γὰρ ἂν ἔχοι λόγον, μετὰ τοῦ σώματος τὴν ψυχὴν ἀγωνισαμένην καὶ νικήσασαν, μόνην στεφανωθῆναι, ἢ τρυφῆς ἐστερημένην, μόνην κολάσει παραδοθῆναι; εἴποι γὰρ ἂν εἰκότως πρὸς τὸν κριτὴν ἡ κολαζομένη. οὐ μόνη τοὺς σοὺς ὦ δέσποτα παρέβην νόμους, ἀλλὰ μετὰ τοῦ σώματος εἰς τοὺς τῆς

Ministerio de Educación, Cultura y Deporte

κακίας σκοπέλοις ἐξώκειλα. μᾶλλον δὲ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐκεῖνό με εἰς τὸν τῆς ἁμαρτίας περιέσυρε βόθρον. ὑπὸ τῆς ἐκείνου δελεασθεῖσα ὀμμάτων, ξυνὰς ἀλλοτρίας ἐσύλησα, ὥραν περιειργασάμην ἑτέρῳ προσήκουσαν. κτημάτων καὶ χρημάτων ἐπεθύμησα, τούτων με βλέπειν ἀναγκαζόντων. ἐντεῦθεν εἰς τὸν τῆς ἀδικίας ἐξέπεσα βυθόν. τὰ γὰρ τούτου με καταδεδούλωσε πάθη, καὶ ἣν ἔδωκας ἐλευθερίαν ἀφείλετο, θεραπεύειν γὰρ ἠναγκαζόμην ὡς ὁμοφυὲς καὶ ὁμόδουλον, καὶ ταῖς τούτου χρείαις ὑπηρετεῖν. ἡ γαστὴρ, πρὸς γαστριμαργίαν κατήπειγεν. ἡ δὲ γαστριμαργία, τὰς τῆς ἀδικίας ὠδῖνας ἐπενόει. δυσχεραίνουσα πολλάκις, ταῖς τῆς σαρκὸς ἀνάγκαις ὑπείκουσα, καὶ ἀδημονοῦσα καὶ λίαν ἀλγοῦσα, τὰς ταύτης ἐπιθυμίας θεραπεύειν ἠναγκαζόμην. καὶ πολλάκις μὲν ἀντέσχον, καὶ τὰς ἐκεῖθεν προσβολὰς γενναίως ἀπεκρουσάμην. ἡ δὲ τοῦ πολέμου συνεχότης κατηγωνίσατό μου πολλάκις. καὶ ἑάλων ἡ ταλαίπωρος ἀδελφὴ πειθομένη. τοῦτο καταξύσασα, ἠνιώμην, ἐπεὶ γὰρ πάλιν τὴν ὀδύνην ὑπεδεχόμην. καὶ φέρουσα, ἐπεβουλευόμην, τὰ γὰρ ἐντεῦθεν σκιρτήματα πάλιν ὑπεδεχόμην, καὶ τὸ πρακτέον ἠγνόουν. ἥ τε γὰρ ταλαιπωρία τούτου, πολλήν μοι τὴν ἀ-

νίαν εἰργάσατο. καὶ ἡ θεραπεία σφοδροτέραν ἀπετέλει τὴν μάχην, καὶ τὴν παράταξιν ἀνερρίπιζε. μὴ τοίνυν με μόνην ὦ δέσποτα παραδῷς τιμωρίᾳ, ἀλλ' ἢ μετ' ἐκείνου τῶν δυσχερῶν ἐλευθέρωσον, ἢ κἀκεῖνο σὺν ἐμοὶ τῇ κολάσει παράπεμψον. Εἴποι δ' ἂν καὶ τὸ σῶμα, τὸ καλῶς τοῖς τῆς ψυχῆς ὑπηρετῆσαν βουλεύμασιν ὁμοίως πρὸς τὸν δίκαιον κριτὴν, εἰ τινος μεταλάβοι φωνῆς. εὐθύς με δημιουργήσας ὦ δέσποτα, τὴν ψυχὴν ἐνεφύσησας. εἰ δὲ δεῖ τῇ ἀρχῇ πᾶσαν τῆς φύσεως τὴν ὁδὸν τεκμηριῶσαι, πρότερον ἐγὼ τῆς δημιουργίας ἀπήλαυσα, εἶθ' οὕτως τὴν ζωτικήν μοι τῆς ψυχῆς ἐνέθηκας δύναμιν. ἀπήλαυσα καὶ τῆς ἐν παραδείσῳ διαίτης μετ' αὐτῆς ἐγώ. κοινῇ δὲ τῆς κυήσεως ἐν μήτρᾳ συνδιηγάγομεν χρόνον. κοινῇ τῶν ὠδίνων λυθέντων εἰς τόνδε τὸν βίον ἐξεληλύθαμεν, καὶ τοῦδε τοῦ φωτὸς ἀπηλαύσαμεν, καὶ τοῦ ἀέρος τὴν χρείαν ἐσπασάμεθα. καὶ κοινῇ τὸν βίον ὡδεύσαμεν. οὐδὲν αὐτὴ καθ' αὑτὴν τῶν ἀγαθῶν εἰργάσατο πώποτε, ἀλλ' ἐμοὶ τῇ σαρκὶ συνεργῷ κεχρημένη, τὸν μὲν ἀρετῆς συνήγαγε πλοῦτον. ἐγὼ τὰς ἐν νηστείαις ἀγρυπνίας τε καὶ χαμευνίας, καὶ τῆς ἄλλης ἁπάσης κακουχίας τὰς ὀδύνας δεχομένη, τὸν ἐντεῦθεν αὐτῇ συνήθροισα πλοῦτον. ἐγὼ δά-

κρυον

κρυον ἐχορήγουν προσευχομένῃ. ἐγὼ τὴν καρ-
δίαν αὐτῇ πρὸς ὑπουργίαν πνεύματος πα-
ρειχόμην στενὴν ἐπειγομένῃ. διὰ τῆς ἐμῆς γλώτ-
της ὑμνοῦσά σε διετέλεσε. τοῖς ἐμοῖς χείλε-
σιν ὀργάνοις κεχρημένη, σοὶ τὰς αἰνέσεις προσ-
έφερε. τὰς ἐμὰς χεῖρας εἰς οὐρανὸν ἐκτεί-
νουσα, τῆς σῆς φιλανθρωπίας ἐδρέπετο τὸν
καρπόν. ὡδὶ τῇ τῶν ἐμῶν ποδῶν φορουμένη,
ἔτρεχε πρὸς τοὺς ἱεροὺς σου σηκούς. ἐγὼ πα-
ρεῖχον αὐτῇ τὰς ἀκοάς, εἰς τὴν τῶν σῶν λο-
γίων ὑποδοχήν. τοῖς ἐμοῖς ὀφθαλμοῖς κε-
χρημένη, ἥλιον ὁρῶσα καὶ σελήνην, καὶ τῶν
ἀστέρων χορόν, καὶ οὐρανόν, καὶ γῆν, καὶ θά-
λασσαν, καὶ πᾶσαν τὴν ὁρωμένην κτίσιν, πρὸς
τὴν σὴν θεωρίαν ἐποδηγεῖτο. καὶ ἐκ τοῦ μεγέ-
θους καὶ τοῦ κάλλους τῶν ὁρωμένων, σὲ τὸν δη-
μιουργὸν ἐφαντάζετο. διὰ τῶν ἐμῶν ὀφθαλ-
μῶν, τὸν ἐν τοῖς γράμμασι κεκρυμμένον ἐλή-
στευε θησαυρόν. τοῖς ἐμοῖς δακτύλοις ὀργά-
νοις κεχρημένη, τὰς θείας σου διδασκαλίας
γράμμασιν ἐνεχάραξε, καὶ ἀθάνατον τὴν τού-
των καταλέλοιπε μνήμην. διὰ τῶν ἐμῶν χει-
ρῶν, τοὺς κατὰ πᾶσαν τὴν οἰκουμένην εὐκτη-
ρίους οἴκους ἀνέστησεν. ἐμοὶ συνεργῷ κεχρημέ-
νη, τὸν τῆς ἀγάπης ἐπλήρωσε νόμον. διὰ τῶν
ἐμῶν χειρῶν, τοὺς τῶν ἁγίων πόδας ἔνιψε. διὰ

ξ

τῶν ἐμῶν χειρῶν, θλιβομένοις ἐπήρκεσε, τὰ πεπονηκότα σώματα θεραπείας ἠξίωσε. μὴ τοίνυν με δέσποτα χωρίσῃς ὁμόζυγος, ἄνωθεν συζευχθείσης μοι. μὴ δὲ διαζεύξῃς συζυγίαν, οὐχ ἁπλῶς οὕτως ἐκ τοῦ συμβαίνοντος γεγενημένην, ἄνωθεν δὲ ἀπὸ τῆς σῆς κληρωθεῖσαν δημιουργίας, ἀλλ' ἕνα στέφανον τοῖς ἕνα διαδεδραμηκόσιν ἀπόδος. τοῦτο γὰρ τῆς σῆς ἰσότητος ἴδιον. τοῦτο πρέπει τῇ δικαίᾳ σου ψήφῳ. ταῦτα ἂν εἴποι καὶ τὸ σῶμα, τὸ καλῶς τῇ ψυχῇ συναγωνισάμενον, εἴ τινος μεταλάβοι φωνῆς. Ἀλλ' οὔτε τὸ σῶμα ταῦτα ἐρεῖ, οὔτε ἐκείνα ἡ παρανομίᾳ συνεζηκυῖα ψυχή, οὐ δεῖ τῆς ἱκετείας ταύτης ὁ κριτής, ἀλλ' ὥσπερ ἰθύνει σοφῶς, οὕτω δικάζει δικαίως. καὶ τὰ σώματα ταῖς ψυχαῖς ἀποδιδούς, οὕτως ἀπονέμει τὰ πρὸς ἀξίαν ἅπασι. πῶς γὰρ οὐκ ἄτοπον, ἀριστέα μὲν ἐν παρατάξει νίκην νενικηκότα τινά, εἰκόνι παρὰ τῶν ὁμοφύλων τιμώμενον μετὰ τῆς σκευῆς ἐκείνης, ᾗ χρώμενος τοὺς πολεμίους ἐτρέψατο, ἢ γράφεσθαι, ἢ πλάττεσθαι, ἢ διαγλύφεσθαι, εἴτε λίθος, εἴτε χαλκὸς εἴη, εἴτε σανὶς τῆς εἰκόνος ἡ ὕλη. καὶ εἰ μὲν τόξοις κεχρημένος ἐνίκησε, μετὰ τῶν τόξων αὐτὸν ἐκτυποῦσθαι. εἰ δὲ αἰχμῇ, καὶ κράνει, καὶ ἀσπίδι, μετὰ ταύτης αὖ πάλιν τῆς σκευῆς.

Ministerio de Educación, Cultura y Deporte

τὴν δὲ ψυχὴν μετὰ τοῦ σώματος ἀγωνισαμένην, καὶ τῶν ἀοράτων πολεμίων περιγινομένην, καὶ ζωγράφου τυχοῦσαν τοῦ τῶν ὅλων δημιουργοῦ, γυμνὴν εἶναι, τῆς πανοπλίας ἐστερημένην; οὐ μόνον δὲ στρατηγόν ἐστιν ἰδεῖν οὕτω τιμώμενον, ἀλλὰ καὶ ἀθλητὴν, καὶ πύκτην, καὶ δρομέα, καὶ τραγῳδίας ὑποκριτὴν, καὶ ἁρμάτων ἡνίοχον. τούτων γὰρ ἕκαστος μεθ' οὗ ἐνίκησε σχήματος, τὴν στάσιν ἐν ταῖς εἰκόσι λαγχάνουσι. καὶ ὁ μὲν, ἕστηκε μετὰ τῶν ὀκριβάντων, καὶ τῆς στρατηγικῆς στολῆς, Οἰνομάου τινὸς, ἢ κρέοντος προσωπεῖον ἔχων, μονονουχὶ λέγων πρὸς ἅπαντας, ὅτι μετὰ τούτων ὑπεκρινάμην, καὶ μετὰ τούτων νενίκηκα. ὁ δὲ, γυμνὸς τρέχει, διδάσκων τοῦ ἀγῶνος τὸ εἶδος. ὁ δὲ, παλαίειν δοκεῖ, ἢ κατέχει τὸν στέφανον, καὶ διδάσκει τοὺς ἀγνοοῦντας, ποῖον ἀγῶνα ἠγώνισται. ὁ δὲ, πυκτεύει, καὶ τὸν ἀντίπαλον παίει. ὁ δὲ δηλοῖ διὰ τοῦ σχήματος καὶ τῆς μάστιγος ὁποίαν μετιὼν τέχνην, τῆς νίκης ἔτυχε. μὴ τοίνυν τούτων ἁπάντων ἀτιμοτέραν ἀποφήνῃς τὴν φύσιν, δι' ἧς τούτων ἕκαστον κατορθοῦται. μηδὲ τῶν ἀνθρώπων ἀδικώτερον τὸν θεὸν ὑπολάβῃς, δικαιοσύνης ὄντα πηγήν. μηδὲ τοῖς ἀνθρώποις αὐτὸν παραπλησίως τοὺς οἰκείους νικητὰς ὑποπεριδύσεις γεραίρειν. εἰ γὰρ ἄνθρωποι πολλάκις,



Ministerio de Educación, Cultura y Deporte

οὐδὲ τὸ δίκαιον περὶ πολλοῦ ποιούμενοι, ἀλλὰ καὶ τούτου λίαν ὀλιγωροῦντες, τοὺς ἐν τοῖς εὐτελέσι τούτοις καὶ ἀκερδέσιν ἀγῶσιν οὕτω τιμᾶν εἰώθασι, πολλῷ μᾶλλον τοὺς λαμπροὺς καὶ μεγάλους ἀγωνιστὰς, ὁ ταύτης καὶ νομοθέτης, καὶ ἀγωνοθέτης τιμήσει, καὶ στεφανώσει, καὶ τὸ δίκαιον νικήσει τῷ μεγέθει τῶν δωρεῶν. ἀλλ' οἶδα πόθεν εἰς ταύτην ἢ τὴν βλασφημίαν ἐξώκειλας, ἀπὸ γὰρ τῆς ἀσθενείας τὰ θεῖα τεκμαίρῃ, καὶ τὴν σὴν ἀσθένειαν, ὅρον ποιεῖς τῆς θείας δυνάμεως. καὶ τὰ σοὶ λίαν ἀδύνατα, παραπλησίως εἶναι θεῷ νομίζεις ἀδύνατα. ἀλλ' οὐκ ἔστι ταῦτα οὐκ ἔστιν. οὔτε τὸ ταὐτὸν ὁ πηλὸς τῷ κεραμεῖ δύναται, καὶ μὴν ἄμφω μιᾶς ὑπάρχουσι φύσεως, ἀπὸ γὰρ γῆς καὶ οὗτος κἀκεῖνος. καὶ μάρτυς ὁ τῷ Ἰὼβ προσδιαλεγόμενος ἄνθρωπος, ἐκ τοῦ αὐτοῦ διήρτισαι λέγων πηλοῦ σὺ ὡς καὶ ἐγώ. ἀλλ' ὅμως καὶ μιᾶς φύσεως οὔσης τοῦ τε πηλοῦ καὶ τοῦ κεραμέως, οὐ τὴν ἴσην δύναμιν ἐν ἀμφοῖν ἔστιν εὑρεῖν. ὁ μὲν γὰρ, κινεῖ. ὁ δὲ, κινεῖται. καὶ ὁ μὲν, πλάττει. ὁ δὲ, πλάττεται. καὶ ὁ μὲν, κεραννύσιν. ὁ δὲ, κεράννυται. καὶ ὁ μὲν, εἰδοποιεῖ. ὁ δὲ, εἰδοποιεῖται. καὶ ὡς ἂν ὁ κεραμεὺς ἐθέλοι, μετασχηματίζεται. εἰ δὲ ἐνταῦθα μία ἡ φύσις, οὐκ ἴση ἡ δύναμις, πολλῷ μᾶλλον ἐνταῦθα διάφο-

Ministerio de Educación, Cultura y Deporte

ρος ἡ φύσις, διάφορος καὶ ἡ δύναμις. ἀλλὰ γὰρ οὐδὲ συγκεῖναι δυνατὰ τὰ ἀσύγκριτα. πῶς γὰρ ἂν παραβληθείη τὸ ἐκ μὴ ὄντων, τῷ ἀεὶ ὄντι; τὸ ἐν χρόνῳ, τῷ πρὸ αἰώνων; τὸ ἐκ πηλοῦ, τῷ οὐρανοῦ καὶ γῆς ποιητῇ; εἰ τοίνυν τὰ σοὶ λίαν ἀδύνατα, νομίσεις εἶναι ἀδύνατα καὶ θεῷ. πάντα γὰρ ἐκείνῃ τῇ φύσει δυνατὰ καὶ λίαν εὔπορα. δύναται τοιγαροῦν, καὶ τὴν ἅπαξ εἰς ἰχῶρα διαῤῥυεῖσαν τοῦ σώματος φύσιν, εἶτα κόνιν γεγενημένην, καὶ πανταχοῦ διασπαρεῖσαν, ἐν ποταμοῖς, ἐν πελάγεσιν, ἐν οἰωνοῖς, ἐν θηρίοις, ἐν πυρὶ, ἐν ὕδατι (πάντα γὰρ τὰ τῆς ἀπιστίας εἰς μέσον φέρω κινήματα) συναγαγεῖν σε θέλων πάλιν, καὶ εἰς τὸ πρότερον καὶ μέγεθος καὶ κάλλος ἐπαναγαγεῖν. ἠθέλησε γὰρ μόνον, καὶ ἐγένετο οὐρανός. καὶ ἐκυρτώθη τοσοῦτον, ὅσον ἠθέλησεν. ἠβουλήθη, καὶ ὑπεστορέσθη ἡ γῆ, καὶ κρέμαται μόνον τοῦ θεοῦ τὸν ὅρον θεμέλιον ἔχουσα. εἶπε, καὶ ἐγένετο φῶς. Γεν. α'.
ἐκέλευσε, καὶ παρήχθη τῶν ὑδάτων ἡ φύσις. προσέταξε, καὶ τῆς γῆς ἀπεκλείσθη. ἤνθησε, καὶ ἐκοσμήθη ἡ γῆ, λειμῶσι, καὶ ἄλσεσι, καὶ ληΐοις παντοδαποῖς. εἶπε, καὶ παρήχθη ζώων εἴδη μυρία, χερσαῖα, ἔνυδρα, καὶ ἀέρια. ὁ τοιαῦτα λόγῳ πεποιηκὼς, ῥᾷον καὶ τοῦτο πολλῷ τὴν τοῦ σώματος ἀνίστησι φύσιν. ῥᾷον γὰρ πολλῷ

τὸ παλαιωθὲν καινουργῆσαι, ἢ τὰ μὴ ὄντα
δίχα ὕλης ποιῆσαι. εἰ δὲ ἀπιστεῖς, ἐρεῖ σοι
Παῦλος ὁ μέγας τῆς οἰκουμένης διδάσκαλος.
α΄. Κορ. » ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωογονεῖται, ἐὰν μὴ
ιε΄. » ἀποθάνῃ. καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησό
» μενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχῃ
» σίτου, ἤ τινος τῶν λοιπῶν. ὁ δὲ θεὸς δίδωσιν
» αὐτῷ σῶμα, καθὼς ἠθέλησεν. εἰ δὲ καὶ τὴν τού
του διδασκαλίαν, λῆρόν τινα καὶ μῦθον νομί
ζεις, δέξαι τὴν φύσιν διδάσκουσαν καὶ κηρύττου
σαν τὴν ἀνάστασιν. ὁ γὰρ γηπόνος, τέμνει μὲν
πρότερον τὰς αὔλακας, καὶ οἷόν τινας τάφους
ὀρύττει, εἶτα καταβάλλει τὰ σπέρματα, καὶ
ὥσπερ σώματα τάφῳ παραδιδοὺς, καταχών
νυσι. καὶ τούτων πλέον ἐκεῖνος οὐδὲν ἰσχύει
ποιεῖν. ἀλλὰ κἂν ὕδατος δέῃ ῥοῆς, προσφέρειν
τοῦτο δύναται μόνον. ὁ δὲ θεὸς, ἢ οὐρανόθεν ὕει,
ἢ τὸ ἐκ πηγῶν καὶ ποταμῶν ὕδωρ τοῖς σπέρ-
μασι χορηγεῖ, εἶτα ἀρδεύων ταῦτα καὶ δια
βρέχων, καὶ οἷόν τινι σηπεδόνι τοῖς ἀνθρωπείοις
σώμασι παραπλησίως παραδιδοὺς, ἄχρηστα μὲν
λοιπὸν τοῖς ἀνθρώποις εἰς ἐδωδὴν ἐργάζεται, χρή
σιμα δὲ λίαν τοῖς ἐξ αὐτῶν τικτομένοις σώμα-
σιν. ἀποδεχόμενα γὰρ τὴν νοτίδα, καὶ εὐρωό-
μενα, γεννᾷ μὲν τὰς τῶν ῥιζῶν προβολὰς, ἀντι
λαμβάνεται δὲ ταύτης τῆς παρακειμένης γῆς,

Ministerio de Educación, Cultura y Deporte

εἶτα τὴν ἐκ ταύτης νοτίδα, καθάπερ δι' αὐλῶν τινῶν τῶν ῥιζῶν ἕλκει πρὸς ἑαυτά, καὶ τίκτει τὴν ἄνω φυομένην βοτάνην. καὶ κατὰ μέρος δὲ τῷ προειρημένῳ τρέφει λόγῳ, καὶ τήν τε καλάμην εἰς ὕψος παραπέμπει, καὶ τὴν μὲν ἄσταχυν ἐκφέρει, κεκρυμμένον ἔχοντα τὸν καρπόν, οἷον δέ τινας δορυφόρους τὰς ἀθέρας περικείμενον. μὴ τοίνυν ἀπιστήσῃς τῇ τοῦ σώματος ἀναστάσει, συνεχῶς βλέπων τῆς ἀναστάσεως τὰ μιμήματα, καὶ συνεχῶς ἀκούων τῆς τῆς ἀναστάσεως κηρύγματος. ἵνα δὲ βεβαίαν δέξῃ τὴν περὶ τῆς ἀναστάσεως πίστιν, ἐλθέ μοι πάλιν ἐπὶ τὴν τῶν φυτῶν ἱστορίαν, καὶ βλέπε τὰ κλήματα τῶν ἀμπέλων, καὶ τῶν ἄλλων δένδρων, ἢ τὰς καλουμένας ἀποσπάδας, ἢ τὰς ἀπὸ τῶν ῥιζῶν κλάδνας. τῇ μὲν τομῇ, τὴν οἱονεὶ τελευτὴν δεχόμενα. τῇ δὲ ἐν τῷ βόθρῳ θέσει, καθάπερ τινὶ τάφῳ παραδιδόμενα. εἶτα χωννύμενα καὶ σηπόμενα, ἔπειτα τῷ θείῳ βουλήματι, καὶ ῥίζας κάτω γεννῶντα, καὶ βλαστοὺς ἀναφύοντα, καὶ ἡβῶντα, καὶ εἰς ὕψος αἰρόμενα, καὶ βρίθοντα τῷ καρπῷ, καὶ τῆς ταφέντος κλήματος εὐπρεπέστερα τὰ τεχθέντα γινόμενα. καὶ τί λέγω κλήματα καὶ δένδρα καὶ σπέρματα; ἐλθέ μοι πρὸς αὐτὸ τὸ τῆς φύσεως ἐργαστήριον. βλέπε τῆς σῆς διαπλάσεως τὰς ὕλας, πῶς εὐ-

τελεῖς καὶ μικραὶ, καὶ κορύζης οὐδὲν διαφέρουσαι. ἀλλ᾽ ὅμως τὸ εὐτελὲς ἐκεῖνο καὶ μικρὸν, καὶ ἄψυχον, καὶ ἄπνουν, καὶ ἀναίσθητον, παντελῶς θεοῦ νεύσαντος, ἄνθρωπος γίνεται. καὶ ἓν ἔχων εἶδος, εἰς μυρίας ἰδέας μεταποιεῖται, τὰς μὲν στεγανὰς καὶ ἀντιτύπους· τὰς δὲ εὐείκτους, καὶ μαλακάς. καὶ τὰς μὲν, μακρὰς καὶ πολυπόρους. τὰς δὲ, συχνὰς καὶ πυκνάς. καὶ τὰς μὲν, παχείας καὶ λείους. τὰς δὲ, λεπτὰς καὶ ἠερίους καὶ ὑμενώδεις. καὶ τὰς μὲν, αὐλοειδεῖς καὶ σηραγγώδεις. τὰς δὲ, ναστὰς καὶ οὐδὲν σηραγγῶδες ἐχούσας. καὶ ἔστιν ἰδεῖν ἀπὸ τῆς βραχείας ἐκείνης ὕλης γινομένους καὶ αἵματος ὀχετοὺς, καὶ πνεύματος ἀγωγοὺς, καὶ συνδέσμους στεγανοὺς, καὶ σαρκῶν μαλακότητα, καὶ ὀστῶν ξηρότητα, καὶ ὀφθαλμῶν στερρότητα καὶ λαμπρότητα, καὶ κόρης καθαρότητα, καὶ παρειᾶς λειότητα, καὶ τριχῶν λεπτότητα, καὶ τἄλλα μόρια, ὅσα τὸ ἀνθρώπειον ἔχει γένος. ὧν τὴν χρείαν καὶ τὴν ἐνέργειαν, πολλοὶ μὲν τῶν περὶ ταῦτα δεινῶν διεξελθεῖν ἐπειράθησαν, ἡττηθέντες δὲ τῆς τοῦ δημιουργοῦ σοφίας, εἰς ὑμνῳδίαν τὸν λόγον ἐπιβεβλήκασι, καὶ ταῦτα, οὐδὲ τῆς ἡμετέρας ὄντες αὐλῆς, ἀλλὰ τῶν ἔξω πλανωμένων προβάτων. ἀλλ᾽ ὅμως τὴν ἀγαθὴν

πόαν νεμόμενοι, καὶ ὑπὸ τῆς φύσεως μόνης κινούμενοι καὶ παιδαγωγούμενοι, τὸν ποιμένα καὶ ἡγεμόνα καὶ ποιητὴν τοῦ παντὸς, ὡς ἐχώρησαν, ὕμνησαν. σὺ δὲ πρὸς τῇ φύσει καὶ νόμον ἔχων διδάσκαλον, καὶ προφήτας τὰ θεῖα παιδεύοντας, καὶ τῶν ἀποστόλων τὸν χορὸν, περί τε τῶν ὄντων διδάσκοντα, καὶ περὶ τῶν μελλόντων κηρύττοντα, δέξαι πανταχόθεν τῆς ὠφελείας τὸν ἔρανον. ἀρκεῖ δὲ καὶ μόνη τῶν ἐμβρύων ἡ φύσις, καὶ ἡ πρώτη τῶν ἀνθρώπων διάπλασις, ὑποδεῖξαί σοι τὴν τῶν κειμένων ἀνθρώπων ἀνάστασιν. πίστευσον εἶναι γαστέρα μητρῴαν, τὴν γῆν. μήτραν, τὸν τάφον. σπέρμα δὲ, τῆς φύσεως τὸ βραχύτατον ἐκεῖνο καὶ χνοῶδες τοῦ σώματος λείψανον, ὃ καὶ παντάπασιν ὂν ἀφανὲς πᾶσιν ἀνθρώποις, θεωρητόν ἐστι τῷ θεῷ. καὶ τὸν ὀφθαλμὸν ἐκεῖνον ψαλμ.
» οὐδεὶς πέφευγεν. ἐν γὰρ τῇ χειρὶ αὐτοῦ τὰ πέρα- ϟδ'.
» τα τῆς γῆς. καὶ αὐτὸς ἐμέτρησε τῇ χειρὶ τὸ ὕ- Ἡσα. μ'
» δωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν πᾶ-
» σαν δρακί. καὶ ῥᾴδιον αὐτῷ θεάσασθαι τὰ ἐν
» τῇ χειρί. καὶ γὰρ καὶ σοὶ σφόδρα λίαν εὐπετὲς,
κἂν ἀναμίξαι θελήσῃς κέγχρον καὶ φακὸν, καὶ πυροὺς καὶ κριθὰς, πάλιν αὐτὰ διακρίνειν εὐμαρῶς, ὥσπερ ἐθέλεις. εἰ τοίνυν ἐν τῇ χειρὶ τοῦ θεοῦ τὰ πέρατα τῆς γῆς, ῥᾷον αὐτῷ

Ministerio de Educación, Cultura y Deporte

κομιδῇ, καὶ τὰ παντελῶς ἀναμιχθέντα, ἀκριβῆ καταστῆσαι. πίστευσον τοίνυν μὴ ζημίαν εἶναι τὸν τάφον. σπέρμα δὲ, τὸ ἀποκείμενον λείψανον. πλάστην δὲ, τὸν πλάστην. ὠδῖνας δὲ τὴν ἐσχάτην τοῦ βίου ἡμέραν, καὶ τὴν φοβερὰν τοῦ

α΄. Κορ ιε΄. „ ἀρχαγγέλου φωνήν. σαλπίσει γάρ φησι, καὶ „ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι. τότε τῶν βεβιωμένων τὰς εὐθύνας εἰσπραχθησόμεθα. τότε τῶν καλῶς ἡμῖν, ἢ κακῶς εἰργασμένων τὸν λόγον ἀποδώσομεν. τότε τὰ κεκρυμμένα τῆς διανοίας ἡμῶν βουλεύματα, δῆλα πᾶσι γενήσεται. τότε πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν. ταῦτα δείσαντες ὦ ἄνθρωποι, ἀπόθεσθε τὴν κατὰ τῆς προνοίας ἀπέχθειαν. φύγετε τὴν πονηρὰν ταύτην δυσμένειαν. παύσασθε βλασφημίας, ἀπολογίας ἐσχηματισμένης. σπείσασθε πρὸς τὸν πεποιηκότα φιλίαν, ἵν' ὡς φίλους ἡμᾶς κυβερνήσῃ, καὶ μὴ ὡς πολεμίους ἔξω βάλῃ τοῦ σκάφους. ὑμνήσατε τὰ τῆς προνοίας πηδάλια, ἵν' ὑπὸ τούτων κυβερνώμενοι, τοῦ παρόντος βίου τὰ κύματα διαφύγητε, καὶ τῶν λιμένων ἐκείνων τῶν ἀπηνέμων ἀπολαύσητε, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Ministerio de Educación, Cultura y Deporte

Ὅτι ἄνωθεν ὁ θεὸς οὐκ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ἁπάντων ἀνθρώπων κηδόμενος διετέλεσε. καὶ περὶ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως.

Λόγος, Ι'.

Ἄπλωτον μὲν οὖν οἶδα σαφῶς τῆς θείας σοφίας καὶ προμηθείας τὸ πέλαγος. καὶ μέμνημαί γε τοῦ θειοτάτου προφήτου βοῶντος· τὰ » κρίματά σου, ἄβυσσος πολλή. ψαλ. λέ. μέμνημαι δὲ καὶ τοῦ μεγάλου κήρυκος τῆς ἀληθείας τοῦ θεσπεσίου Παύλου, τοιαύτην » πάλιν ῥήξαντος φωνήν· ὦ βάθος πλούτου » καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὡς ἀνεξερεύ» νητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ » ὁδοὶ αὐτοῦ. ῥωμ. ιά. οὐ τοίνυν ἀνοήτως τῶν ἀνεφίκτων κατατολμῶμεν, ἀλλ' εἰς δύναμιν τὰ θεῖα θαυμάζομεν. καὶ ὅσον χωροῦμεν, ὑμνοῦμεν. ἴσμεν γὰρ καὶ τοὺς τὸν ἥλιον πλέον ἢ δεῖ κατιδεῖν φιλονεικοῦντας, οὔτι ὧν ποθοῦσιν ἀπολαύοντας, καὶ τὴν ὄψιν λυμαινομένους, καὶ οὐ μόνον φῶς ἐκεῖθεν οὐχ ἕλκοντας, ἀλλὰ καὶ σκότος ἐπισπωμένους. ταυτὸ δὲ τοῦτο καὶ τὸν νοῦν τὸν ἀνθρώπινόν ἐστιν ἰδεῖν ὑπομένοντα, ἐρευνῆσαι γὰρ πολλάκις ὑπὸ ἀβελτηρίας φιλονεικῶν, τί τε τὴν γῆν ὑπερεῖδον, καὶ τίς αὖ πάλιν

ἢ ἐκείνου κρηπίς, καὶ ἐπὶ τίνος αὖθις κἀκεῖνο φέρεται, ἢ ποῖα τὰ ἄνω τῶν οὐρανῶν, τί δὲ τὰ ἔξω τοῦ σύμπαντος κόσμου, οὐ μόνον οὐδὲν εὑρίσκει τῶν ζητουμένων, ἀλλὰ καὶ ζόφου πολλοῦ καὶ ἀχρείας πληθεὶς, ἐπανέρχεται. ταύτην εἰδὼς τοῦ νοῦ τὴν ἀσθένειαν ὁ μακάριος

α. Κορ. ιγ. » Παῦλος παρεγγυᾷ, λέγων. εἰ δέ τις δοκεῖ ἐγνωκέναι τι, οὐδέπω οὐδὲν ἔγνω καθὼς γνῶναι » δεῖ. καὶ πάλιν. ἐκ μέρους γινώσκομεν, καὶ ἐκ » μέρους προφητεύομεν. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, » τότε τὸ ἐκ μέρους καταργηθήσεται. καὶ ἑτέρωθι. ἄρτι βλέπω, ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. ἄρτι γινώσκω ἐκ μέρους. τότε δὲ ἐπιγνώσομαι, ὅσον » καὶ ἐπεγνώσθην. καὶ αὖθις. ὅτε ἤμην νήπιος, » ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς » νήπιος ἐλογιζόμην. ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου. ταῦτα δὲ πάντα διέξεισιν ὁ θεῖος ἀνὴρ, πεῖσαι βουλόμενος ἅπαντας, καὶ χαλινοῦν τοῦ νοῦ τὴν ἀπιστίαν, ἵνα μὴ τῶν ἀδυνάτων κατατολμᾷ, καὶ ἀναμένειν τὴν ἐσομένην ἐν τῷ μέλλοντι βίῳ τῶν πραγμάτων ἀκριβῆ κατάστασιν. διὰ τοῦτο νηπιώδη καλεῖ τὴν νῦν ἡμῖν δεδομένην γνῶσιν. καὶ τῇ μὲν νομικῇ διδασκαλίᾳ ταύτην παραβάλλων, τελείαν αὐτὴν ὀνομάζει. τῷ δὲ ἀπαθεῖ βίῳ καὶ

Ministerio de Educación, Cultura y Deporte

ἀθανάτῳ συγκρίνων, μειρακιώδη προσαγορεύει.
καὶ τοῦτο δὲ τῆς θείας προμηθείας τεκμή-
ριον. ὁ γὰρ σοφῶς ἅπαντα πρυτανεύων, εἰδὼς
ἡμῶν τῆς ἀλαζονείας τὸ φύσημα, οὐδὲ τοῖς
ἁγίοις δέδωκεν ἀκριβῆ τὴν γνῶσιν τῶν θείων.
φυσιοῖ γὰρ ἡ γνῶσις, ὡς τῷ μακαρίῳ Παύλῳ καὶ α'. κορ. η
τῇ ἀληθείᾳ δοκεῖ. ἀλλ' ἆθλον αὐτὴν προτέ-
θεικεν ἀρετῆς, ἵνα κατὰ τὸν παρόντα βίον
καλῶς ἀγωνισάμενοι, καὶ τὰ πάθη παντελῶς
ἀποδυσάμενοι, καὶ φθορᾶς καὶ παθῶν ἐλεύ-
θερον ἐνδυσάμενοι τὸ σῶμα, τηνικαῦτα τε-
λείαν τὴν γνῶσιν ἀποδεξώμεθα. οὐδεμίαν
λοιπὸν, ἅτε δὴ παθῶν ἀπηλλαγμένοι, καὶ τῶν
ἀγώνων ἔξω γινόμενοι, δεχόμενοι τὴν βλάβην.
μὴ τοίνυν τῶν ἀνεφίκτων κατατολμῶμεν,
ἀλλ' οἷς εἰλήφαμεν στέρξωμεν. καὶ ὡς χορηγοῦμεν.
τὸν ἀγαθὸν ἡμῶν δεσπότην ὑμνήσωμεν. καὶ οἷς
ἔχομεν, τὸν εὐεργέτην αἰνέσωμεν. ὁρῶμεν ἀν-
δρας ἀρετῆς ἐργάτας ἐν εὐκλείᾳ ζῶντας
καὶ τιμῇ καὶ θεραπείᾳ, προσκυνήσωμεν τὸν
τῆς ἀρετῆς νομοθέτην, καὶ ἀγωνοθέτην ὀρθῶς
αὐτὴν καὶ δικαίως ἀνακηρύττοντα. θεωροῦ-
μεν ἄλλους τὸν αὐτὸν μὲν βίον προαιρουμένους,
οὐ τῆς αὐτῆς δὲ παρὰ ἀνθρώποις ἀπολαύον-
τας, μὴ δυσχεραίνωμεν ὦ φιλότης, ἀλλὰ πι-
στεύσωμεν αὐτοὺς μὲν καλῶς ἀγωνίζεσθαι τῆς

Ministerio de Educación, Cultura y Deporte

καρτερίας τὸν ἆθλον, ἀνακηρύττεσθαι δὲ διὰ τούτου εἰς τὸν προσδοκώμενον βίον, ὡς ἐν τῷ πρὸ τοῦδε διεξεληλύθαμεν λόγῳ, καὶ μὴ βλασφήμοις κατὰ τῆς προνοίας ἀκοντίσωμεν λόγοις. ἄτοπον γάρ, καὶ πολλῆς γέμον ἀβελτηρίας, μᾶλλον δὲ ἐσχάτης μανίας, αὐτοὺς μὲν ἐκείνους διὰ τρικυμιῶν πλέοντας, καὶ ὑπὸ καταιγίδων βαλλομένους, καὶ μετὰ πολλῆς δυσκλείας τὸν βίον διανύοντας, τὸν κυβερνήτην ὑμνεῖν, τοὺς δὲ ἔξω βελῶν, τὸ δὴ λεγόμενον, καθημένους, καὶ θεατὰς μᾶλλον ἢ ἀγωνιστὰς γινομένους, τὸν ἀγωνοθέτην λόγοις βάλλειν βλασφήμοις, ἐπειδὴ τοῖς ἔργοις οὐ δύνανται. οἱ δὲ τῆς εὐσεβείας τρόφιμοι οὐκ ἐξ οὐρίων μόνον φερόμενοι, ἀλλὰ καὶ κλύδωνι καὶ χειμῶνι παλαίοντες, τὸν τῶν ὅλων ὑμνοῦσι θεόν. ἔστιν ἀκοῦσαι τοῦ μακαρίου Δαβὶδ βοῶντος, ἀνδρὸς ἐν πολέμοις τὸν βίον ἅπαντα καταναλώσαντος, καὶ μυρίαις ὅσαις

Ψαλ. ριε. „ προσπαλαίσαντος συμφοραῖς. τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; ἔστι δὲ ἀκοῦσαι καὶ τοῦ μακαρίου Δανιὴλ, καὶ τῶν ἁγίων ἐκείνων μειρακίων ἐν αὐτῇ τῇ τῶν δεινῶν προσβολῇ τὸν θεὸν ἀνυμνούν-

Δαν. γ. καὶ δ. των, καὶ δίκας τίνειν ὑπὲρ ὧν ἐπλημμέλησαν ὁμολογούντων, ἀλλ' οὐ στεφανῶν σφᾶς αὐ-

Ministerio de Educación, Cultura y Deporte

τοὺς ἀξίους εἶναι λεγόντων, οὐδὲ δυσχεραινόν-
των τὰ τῆς δίκης ζυγά. λιμῷ πιεζόμενος ὁ μέ-
γας Ἀβραὰμ ὁ πατριάρχης, ὁ τὰς ὑποσχέ- Γεν. ιβ
σεις ἐκείνας θεόθεν δεξάμενος, ἔφερε γεν- καὶ κ'.
ναίως τὴν τοῦ λιμοῦ προσβολήν. διὰ τῆς ὁμό-
ζυγος στερηθεὶς, καὶ παρὰ βαρβάροις ἀνθρώ-
ποις ταύτην ὁρῶν, χάριν τῷ καλέσαντι ὁμο-
λογῶν διετέλεσε, καὶ τῶν ὑποσχέσεων ἀνα-
μένων τὸ τέλος, ἀσμένως ὑπερέπλεε τῶν κυ-
μάτων. καὶ τίς ἂν ἐφίκοιτο λόγος τῆς τούτου
μεγαλοψυχίας; τίς δὲ αὐτοῦ τὴν ἄκραν φι-
λοσοφίαν πρὸς ἀξίαν θαυμάσειε; τοῖς φιλο-
μαθέσι τοίνυν καταλιπὼν τὴν τῆς ἱστορίας
ἀνάγνωσιν, καὶ καταμαθεῖν ἀκριβῶς τὴν
τούτου, καὶ τὴν ἐκ τούτου ἀνδρίαν καὶ καρ-
τερίαν, καὶ σωφροσύνην, φιλοπονίαν τε καὶ
φιλοθεΐαν, καὶ ἁπαξαπλῶς τὸ τῆς ἀρετῆς ὕ-
ψος, ἐπὶ τοὺς τῆς νέας διαθήκης βαδιοῦμαι
τῷ λόγῳ. βλέπε τοίνυν τὸν Πέτρον καὶ Ἰωάν-
νην, τοὺς πύργους τῆς εὐσεβείας, τοὺς στύλους
τῆς ἀληθείας, τοὺς τῆς ἐκκλησίας τὴν οἰκο-
δομὴν ὑπερείδοντας, ὑπὸ μὲν Ἰουδαίων μα-
στιγουμένους, χαίροντας δὲ καὶ γεγηθότας, ὅτι
κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ πράξ. ε'
ἀτιμασθῆναι. ὁ γὰρ ταῦτα συγγεγραφὼς,
εἰρηκὼς ὅτι ῥάβδοις ᾐκίσθησαν, οὐκ ἔφη καρτε-

Ministerio de Educación, Cultura y Deporte

ρῶς αὐτοὺς φέρειν καὶ γενναίως τὰς μάστιγας,
ἀλλὰ χαίροντας ἐξεληλυθέναι καὶ γεγαννυ-
μένους. διαφορὰν δὲ πολλὴν ἔχει τὸ χαίρειν
πρὸς τὸ φέρειν. φέρει μὲν γάρ τις τὴν τῶν ἀ-
νιαρῶν προσβολὴν, ἀλλ' ὀδυνώμενος καὶ ἀνιώ-
μενος. ὁ δὲ χαίρων κηρύττει τὴν τῆς ψυχῆς
θυμηδίαν. οὕτω καὶ ὁ μακάριος Παῦλος ἐβόα,
β' κορ. ιβ ἡ μεγίστη τοῦ κηρύγματος σάλπιγξ. εὐδοκῶ
ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διω-
γμοῖς καὶ στενοχωρίαις ὑπὲρ Χριστοῦ. καὶ οὐκ
εἶπε φέρω ἢ καρτερῶ, ἀλλ' εὐδοκῶ, ὅπερ πολ-
λὴν σημαίνει τῆς ἀρετῆς τὴν ἐπίτασιν. καὶ ἑτέ-
Κολ. α' ρωθι δὲ, νῦν χαίρω φησὶν, ἐν τοῖς παθήμασιν
ὑπὲρ Χριστοῦ. καὶ αὖθις. οὐκ ἄξια τὰ πα-
θήματα τοῦ νῦν καιροῦ, καὶ τὰ λοιπά. καὶ
ῥωμ. η'. πάλιν. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ
Χριστοῦ; θλίψις ἢ στενοχωρία; καὶ τὰ ἑξῆς. ἀλ-
λ' ἐπιλείψει με ἡ ἡμέρα τοῦ μεγάλου παιδοτρί-
βου τοὺς τῆς εὐσεβείας ἀθλητὰς τοῖς βιουχίοις
λόγοις συλλέγοντα. εἰ τοίνυν οἱ πᾶν εἶδος ἀ-
ρετῆς συνειληφότες, οὐ μόνον οὐ δυσχεραίνου-
σι τῆς τοῦ βίου θαλάττης τὴν ζάλην, ἀλλὰ καὶ
τοῦ ῥοθίου ζέοντος, καὶ πνευμάτων καὶ καται-
γίδων προσρηγνυμένων, καὶ στροβίλων διακυ-
κώντων τὸ πέλαγος, ὡς ἐξ οὐρίων φερόμενοι διε-
τέλεσαν εὐφραινόμενοι, ἔργον ἦν αὐτοῖς οὐ πο-
λυπραγμονεῖν

Ministerio de Educación, Cultura y Deporte

λυπραγμονεῖν τὰ γινόμενα, ἀλλὰ τὸν κυβερνήτην ὑμνεῖν. τί δήποτε ὑμεῖς ἔξω τῶν κυμάτων ὄντες, καὶ ἠπειρῶται μᾶλλον, ἢ θαλάττιοι, σκώπτετε τὰ γινόμενα, καὶ τοὺς μὲν ἀγωνιστὰς ἐπαινεῖτε, τοῦ δὲ ἀγωνοθέτου κατηγορεῖτε; καὶ μὴν προσήκει τοὺς τὴν τῶν ἀθλητῶν θαυμάζοντας ἀρετὴν, στέργειν ἐκείνων τὴν ψῆφον. ἐκεῖνοι δὲ ὡς εὐεργεσίαν μεγίστην ἐδέχοντο τὴν ὑπὲρ τοῦ κηρύγματος δυσκλείαν, τὰς σφαγὰς, τὰς καταλύσεις, τοὺς ἐμπρησμοὺς, τὰς αἰκίας, τὰς λοιδορίας, τὰ δεσμωτήρια, τοὺς κινδύνους, τοὺς ἐν γῇ, τοὺς ἐν θαλάσσῃ, τοὺς ἐν πόλεσι, τοὺς ἐν ἀγροῖς, τοὺς ἐκ τῶν οἰκείων. Ἐπειδὴ δὲ εἰς τούτους ἐξέβημεν τοὺς λόγους, φέρε καὶ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνανθρωπήσεως μικρὰ διεξέλθωμεν, ὃ κεφάλαιόν ἐστι μέγιστον τῆς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους κηδεμονίας. οὐδὲ γὰρ οὕτως αὐτοῦ δείκνυσιν ἀμέτρητον ἀγαθότητα οὐρανὸς, καὶ γῆ, καὶ θάλαττα, ἥλιός τε καὶ σελήνη, καὶ ἀστέρες, καὶ πᾶσα ἡ ὁρωμένη καὶ ἀόρατος κτίσις, λόγῳ μόνῳ δημιουργηθεῖσα, μᾶλλον δὲ ἅμα τῷ βουληθῆναι τῷ λόγῳ φανεῖσα, ὡς τὸ, αὐτὸν τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν, τὸν ἐν μορφῇ θεοῦ ὑπάρχοντα, τὸ ἀπαύγασμα τῆς δόξης, τὸν χαρακτῆρα τῆς ὑποστάσεως, τὸν ἀρχῆ



Ministerio de Educación, Cultura y Deporte

ὄντα, καὶ πρὸς τὸν θεὸν ὄντα, καὶ θεὸν ὄντα,
δι' οὗ τὰ πάντα ἐγένετο, τὴν τοῦ δούλου λα-
βόντα μορφὴν, ἐν ὁμοιώματι ἀνθρώπου γε-
νέσθαι, καὶ σχήματι ἀνθρώπου εὑρεθῆναι ὡς
ἄνθρωπον, καὶ ἐπὶ γῆς ὀφθῆναι, καὶ τοῖς ἀν-
θρώποις συναναστραφῆναι, καὶ τὰς ἀσθε-
νείας ἡμῶν λαβεῖν, καὶ τὰς νόσους βαστάσαι.
καὶ ὁ μακάριος δὲ Παῦλος τοῦτο τεκμήριον οἶ-
δε μέγιστον τῆς τοῦ θεοῦ περὶ τοὺς ἀνθρώπους
ῥωμ. ε΄. » ἀγάπης, καὶ βοᾷ λέγων· συνίστησι δὲ τὴν ἑαυ-
» τοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς, ὅτι ἔτι ἁμαρτω-
» λῶν ὄντων Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. καὶ
» πάλιν· ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ'
» ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς
» οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται;
συνομολογεῖ τοῦθ' οὕτως ἔχειν, καὶ ὁ θεσπέ-
Εὐαγγ. γ » σιος Ἰωάννης· οὕτως γάρ φησιν ἠγάπησεν ὁ θεὸς
» τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδω-
» κεν ὑπὲρ αὐτοῦ, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν,
» οὐ μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὃς
τοίνυν οὐχ ἁπλῶς κήδεται τῶν ἀνθρώπων,
ἀλλὰ καὶ ἀγαπῶν κήδεται. τοσαύτη δὲ ἡ τῆς
ἀγάπης ὑπερβολὴ, ὡς τὸν υἱὸν τὸν μονογενῆ,
τὸν ὁμοούσιον, τὸν ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεν-
νηθέντα, ᾧ συνεργῷ κεχρημένος τὴν κτίσιν
ἐδημιούργησεν, ἰατρὸν ἡμῶν ἀποφῆναι καὶ σω-

Ministerio de Educación, Cultura y Deporte

τῆρα, καὶ δι' αὐτοῦ τῆς υἱοθεσίας τὸ δῶρον ἡμῖν χαρίσασθαι. ἐπειδὴ γὰρ εἶδε τὴν ἡμετέραν φύσιν ὁ ποιητὴς πρὸς τὸν πικρὸν αὐτομολήσασαν τύραννον, καὶ εἰς αὐτὸ τῆς κακίας καταπεσοῦσαν τὸ βάραθρον, καὶ τοὺς τῆς φύσεως νόμους ἀδεῶς πατουμένους, καὶ τὴν κτίσιν φαινομένην τε καὶ φθεγγομένην, καὶ τὸν δημιουργὸν κηρύττουσαν, πεῖσαι δὲ οὐ δυναμένην τοὺς εἰς ἀναλγησίαν ἐσχάτην ἐκπεπτωκότας, σοφῶς καὶ δικαίως τὴν ἡμετέραν πραγματεύεται σωτηρίαν. οὐ γὰρ ἠθέλησεν ἐξουσίᾳ μόνῃ τὴν ἐλευθερίαν ἡμῖν χαρίσασθαι, οὐδὲ ἔλεον μόνον ὁπλίσαι κατὰ τοῦ ἐξανδραποδίσαντος τῶν ἀνθρώπων τὴν φύσιν, ἵνα μὴ ἄδικον ἐκεῖνος προσαγορεύσῃ τὸν ἔλεον, ἀλλὰ μηχανᾶται πόρον καὶ φιλανθρωπίας γέμοντα, καὶ δικαιοσύνῃ κεκαλλωπισμένον. αὐτὴν γὰρ αὐτῷ τὴν ἡττηθεῖσαν φύσιν ἑνώσας, εἰς τοὺς ἀγῶνας εἰσάγει. καὶ παρασκευάζει τὴν ἧτταν ἀναπαλαίσασθαι, καὶ τὸν κακῶς πάλαι νενικηκότα καταγωνίσασθαι, καὶ τοῦ πικρῶς δουλωσαμένου καταλῦσαι τὴν τυραννίδα, καὶ τὴν πρότερον ἐλευθερίαν ἀναλαβεῖν. τούτου χάριν ὁ δεσπότης Χριστὸς τίκτεται μὲν ἐκ γυναικὸς ὁμοίως ἡμῖν, εἶχε δέ τι πλέον ὁ τόκος, τὴν παρθενίαν. παρθένος γὰρ ἦν ἡ κυήσασα

σαί τε καὶ ὠδίνασα τὸν δεσπότην Χριστόν.
Χριστὸν δ' ὅταν ἀκούσῃς, νόει τὸν πρὸ αἰώνων
ἐκ πατρὸς γεννηθέντα μονογενῆ υἱὸν λόγον,
ἀνθρωπείαν περικείμενον φύσιν, καὶ μὴ νο-
μίσῃς ἐντεῦθεν τοῦ θεοῦ τὴν κηρυττομένην
οἰκονομίαν, οὐδὲν γὰρ μολύνειν δύναται τὴν
ἀκήρατον φύσιν. Εἰ γὰρ τὸν ἥλιον σῶμα ὄντα,
ὁρατός τε γάρ ἐστιν ὁ αὐτὸς, καὶ λύσιν ἐπιδέ-
χεται, διὰ σωμάτων περιιόντα νεκρῶν, καὶ ἰ-
λύος δυσώδους, καὶ πολλῶν ἑτέρων δυσοσμίαν
*τα εἰσιόντων*, οὐδὲν ἰσχύει μιᾶναι, πολλῷ μᾶλ-
λον τοῦ ἡλίου τὸν ποιητὴν, καὶ τὸν τῶν ἁπάν-
των δημιουργὸν, τὸν ἀσώματον, τὸν ἀόρατον,
τὸν ἀναλλοίωτον, τὸν ἀεὶ ὡσαύτως ἔχοντα,
οὐδὲν τῶν τοιούτων μολῦναι δύναται. καὶ
ὅτι ταῦτα οὕτως ἔχει, νόησον οὑτωσί. ἀπε-
Ιερ. κγʹ ρίοριστον αὐτοῦ τὴν φύσιν εἶναι καί φαμεν, καὶ
πιστεύομεν. ἠκούσαμεν γὰρ αὐτοῦ λέγοντος. μὴ
Ησα. ξςʹ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέ-
γει κύριος; καὶ ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ
ὑποπόδιον τῶν ποδῶν μου. καὶ τίς ἐμέτρησε
τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ
πᾶσαν τὴν γῆν δρακί; καὶ ὅσα τοιαῦτα μαρ-
ψαλμ. τυρεῖται. καὶ ὁ μακάριος Δαβὶδ, ἐβόα. ἐν
ϟδʹ. τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. καὶ ὁ θε-
πράξ. ιζʹ σπέσιος Παῦλος. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινού-

Ministerio de Educación, Cultura y Deporte

μεθα καὶ ἐσμέν. εἰ τοίνυν ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, οὐδέν ἐστι τῆς κτίσεως μόριον ἐστερημένον θεοῦ. ἀλλ' ἐν τῇ κτίσει τὰ μέν ἐστιν ἅγια, τὰ δὲ βέβηλα. καὶ τὰ μὲν, εὐώδια· τὰ δὲ, δυσωδίας μεστά. καὶ τῶν ἀνθρώπων, οἱ μὲν εὐσεβείᾳ κοσμοῦνται. οἱ δὲ ἀνοσιουργίᾳ ἐγκαλινδοῦνται. ὁ δὲ πάντα πληρῶν, εὐδοκεῖ μὲν ἐν τοῖς φοβουμένοις αὐτὸν, μισεῖ δὲ πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, καὶ ἀπολεῖ πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. καὶ ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος, καὶ οὐ παροικεῖ αὐτῷ πονηρευόμενος. οὐδὲν τοιγαροῦν τῷ ἀκηράτῳ λυμαίνεται. Εἰ γὰρ οἱ τὴν ἰατρικὴν μετερχόμενοι τέχνην, οὐ μεταλαμβάνουσι τραυμάτων, τραύματα θεραπεύοντες, ἀλλ' ὑγίειαν μὲν πραγματεύονται τοῖς ἀρρωστοῦσι, βλάβην δὲ οὐδεμίαν ἐκεῖθεν πορίζονται, πολλῷ μᾶλλον ὁ ἀριστοτέχνης θεὸς ἀπαθῆ τὴν φύσιν ἔχων καὶ τροπῆς ὑπέρτερος ὤν. καὶ ἀλλοίωσιν οὐ δεχομένην, οὐδὲν παντελῶς ἐκ τῆς ἡμετέρας ἰατρείας εἵλκυσε μόλυσμα. θαυμάσωμεν τοίνυν αὐτὸν οὐκ ἀγγέλοις τὴν ἡμετέραν ἐπιτρέψαντα θεραπείαν, ἀλλὰ τὴν τῶν ἀνθρώπων ἀναδεξάμενον ἰατρείαν. Οὕτω τοιγαροῦν γεννηθεὶς ὁ δεσπότης Χριστὸς, ἐλ- ψαλ. ε'



Ministerio de Educación, Cultura y Deporte

κειμένη μὴ ζῶαν θηλὴν παραπλησίως ἡμῖν, τί-
θεται δὲ ἐπὶ φάτνης τῆς τῶν ἀλόγων τραπέ-
ζης, καὶ τῆς τῶν ἀνθρώπων ἀλογίας κατηγο-
ρῶν, καὶ τὴν οἰκείαν φιλανθρωπίαν παραδη-
λῶν, ὅτι σοφὸς ὑπάρχων ὁ θεὸς, καὶ σοφὴ γί-
νεται κατὰ τὸ ἀνθρώπιον τῶν ἀνθρώπων,
τῶν πολλὴν ἀλογίαν νενοσηκότων. ἀλλὰ νῦν τῆς
ἀνθρωπείας φύσεως τὴν ἀλογίαν ἀποβαλ-
λούσης, καὶ τὸ λογικὸν ἀναλαβούσης, ἡ μυστικὴ
αὐτὴν ὑποδέχεται τράπεζα, τύπος ἐκείνη
γινομένη τῆς φάτνης, καὶ διδάσκουσα τοὺς ἀνθρώ-
ψαλ. μη „πους· ὡς ἡνίκα ὁ ἄνθρωπος ἐν τιμῇ ἦν οὐ συ-
„νῆκε· παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοή-
„τοις, καὶ ὡμοιώθη αὐτοῖς. φάτνη τὴν θείαν
ἐκείνην καὶ πνευματικὴν τροφὴν ὑπεδέξατο·
ἐπειδὴ δὲ εἰς ἑαυτὴν παρῆλθεν ἡ φύσις, καὶ
τὴν εἰκόνα τὴν θείαν περικεῖσθαι σαφῶς ἐπέ-
γνω, τηνικαῦτα λοιπὸν ἐπὶ τὴν λογικὴν με-
τέβη τράπεζαν ἡ τροφή. ἐδέξατο δὲ καὶ περιτο-
μὴν, καὶ θυσίας προσενήνοχε. καὶ γὰρ ἄνθρω-
πος ἦν. ἔδει δὲ τῇ φυλακῇ τοῦ νόμου, τὴν νί-
Ματθ. β′ κην ἀποδοῦναι τῇ φύσει. φεύγει δὲ καὶ ἀνθρω-
πίνως εἰς Αἴγυπτον, πανταχοῦ παρὼν ὡς θεὸς,
καὶ τοῖς πᾶσι παριστάμενος, ὡς φησὶν ἡ θεία γρα-
φή. ἀφικνεῖται δὲ καὶ πρὸς Ἰωάννην τὸν βα-
πτιστὴν, ἁμαρτίας οὐ δεξάμενος ῥύπον. ἀλλ᾽ ἔχει

Ministerio de Educación, Cultura y Deporte

ται βαπτίσματος, ἵνα πληρώσῃ πᾶσαν δι-
καιοσύνην. καὶ κηρύττεται ἄνωθεν ἀπὸ τοῦ
πατρὸς, καὶ ἀπὸ τοῦ πνεύματος δείκνυται. ὁ
„μὲν γὰρ πατὴρ ἄνωθεν ἐβόα. οὗτός ἐστιν ὁ υἱός Ματθ.
„μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. τὸ δὲ πανάγιον ιζ'.
πνεῦμα ἐν εἴδει περιστερᾶς φαινόμενον, εἷλκε
πρὸς ἑαυτὸ τὴν φωνὴν, καὶ τοὺς παρόντας ἐ-
δίδασκε τίς ὁ παρὰ τοῦ πατρὸς τὴν μαρτυ-
ρίαν δεξάμενος. ἐντεῦθεν πρὸς τοὺς ἀγῶνας
λοιπὸν κατὰ τοῦ τυράννου χωρεῖ. καὶ γίνεται
μὲν στάδιον τῶν ἀγώνων ἡ ἔρημος, θεαταὶ δὲ τῶν
ἀγγέλων οἱ δῆμοι, ἀντίπαλος δὲ, ὁ τῆς ἀλη-
θείας ἀντίπαλος. ὃς πρῶτον μὲν τῆς φωνῆς
ἀκούσας, καὶ τῶν προφητικῶν ἀναμνησθεὶς
προρρήσεων, ἐδεδίει τὴν πάλην. καὶ φέρειν μὲν
αὐτοῦ τὴν τῆς ἀρετῆς οὐκ ἴσχυεν ἀστραπὴν,
ἀλλὰ καταπαλαίειν ἠπείγετο, ἐδεδοίκει δὲ
τὸν ἀγῶνα τῆς φωνῆς μεμνημένος. ἀλλ' ὁ τῆς
ἡμετέρας φύσεως καὶ δημιουργὸς καὶ πρό-
μαχος καὶ στεφανίτης καὶ ἀγωνοθέτης, οὐ δε-
δίττεται τὸν ἀγωνιστὴν, οὐδὲ ἀποσοβεῖ τὸν θῆ-
ρα, ἀλλὰ παραθαῤῥύνει καὶ προτρέπει πρὸς πά-
λην, ἵνα τὴν προτέραν νίκην ἀφέληται. καὶ
παραχωρεῖ πεινᾶσαι τῷ σώματι, τεσσαράκον-
τα ἡμερῶν νηστεύσαντι μῆκος. καὶ οὐκ ἐᾷ τῶν
ἤδη νενηστευκότων ὑπερβῆναι τὸ μέτρον, ἵνα



Ministerio de Educación, Cultura y Deporte

πιστευθῇ τὸ ἀνθρώπινον. εἰ δὲ νῦν ὁ δυσμενὴς τὴν πεῖναν, καὶ τὴν νίκην ἤλπισε, καὶ τὴν πάλην ἐθάῤῥησε. καὶ τὸν Ἀδὰμ ἐκεῖνον βλέπειν ἐνόμιζε, τὸ τῆς πείνης θεασάμενος πάθος. ἀλλὰ προσελήλυθε μὲν ὡς τῷ Ἀδὰμ, εὗρε δὲ τὸν τοῦ Ἀδὰμ ποιητὴν τὴν τοῦ Ἀδὰμ περικείμενον φύσιν, καὶ φησὶν πρὸς αὐτόν. εἰ υἱὸς

Ματθ. δ΄. » εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. καὶ παράγει μὲν εἰς μέσον τὴν οὐρανόθεν ἐνεχθεῖσαν φωνὴν βεβαιωθῆναι, ἐμπεδωθῆναι δὲ ταύτην αἰτεῖ τῇ τῶν ἄρτων θαυματουργίᾳ. ἐντεῦθεν ἔστι καταμαθεῖν ἀκριβῶς, ὡς παρ' ἡμῶν αὐτῶν ὁ πολέμιος λαμβάνει τὰς ἀφορμὰς τοῦ πολέμου. πείνην γὰρ θεασάμενος, ἐκ ταύτης ἀκροβολίζεται. ἀλλ' ὁ σωτὴρ ὁ ἡμέτερος καὶ πεινῶντος τοῦ σώματος, καὶ δεομένου τροφῆς, θαυματουργεῖν οὐκ ἀνέχεται. γραφικῷ δὲ λόγῳ κατατοξεύει τὸν τύ-
» ραννον. καί φησι. οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται
» ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευο-
» μένῳ διὰ στόματος θεοῦ. ἀνθρωπίνως δὲ τὴν ἀπόκρισιν ἐποιήσατο, καὶ τὴν θεότητα τέως ἀποκρύβων, καὶ τοῖς ἀνθρώποις τῷ ὁμοίῳ *τῆς νίκης πραγματευόμενος. οὐ γὰρ μόνος φησὶν ἄρτος συνεργός ἐστι τῆς τῶν ἀνθρώπων ζωῆς, ἀλλὰ καὶ πᾶς λόγος ἀπὸ θεοῦ προφερόμενος,

*τὴν νίκην

Ministerio de Educación, Cultura y Deporte

ἀπὸ χρὴ ζωὴν τοῖς πεινῶσιν ἀνθρώποις ποιῆσαι πιστευόμενον. ὡς καὶ ἄρτου δίχα διαβιῶναι τῶν ἀνθρώπων τὴν φύσιν βουλομένου θεοῦ. οὕτω διαλύσας τοῦ ἀντιπάλου τὰ μηχανήματα, καὶ τὴν δευτέραν αὐτοῦ καὶ τρίτην προσβολὴν ἀνόνητον δείξας, καὶ ὡς ἄνθρωπος τὰς ἀποδείξεις ποιησάμενος, ἵνα τὴν ἀπολωλυῖαν τοῖς ἀνθρώποις ἀνακτήσηται νίκην, τρέπεται μὲν τὸν ἀλιτήριον, καὶ τὸν κοινὸν τῶν ἀνθρώπων ἀλάστορα παύει τῆς τυραννίδος. ὑπὸ δὲ τῶν τὴν νίκην θεασαμένων ἀγγέλων, ἀνακηρύτ-
» τεται. προσελθόντες γάρ φησιν, οἱ ἄγγελοι
» διηκόνουν αὐτῷ. ἐπειδὴ μυρία ὅσα θαυματουργήσας. καὶ οἶνον μὲν ἐξ ὕδατος κλημάτων δίχα καὶ γῆς δημιουργήσας. ἐκ πέντε δὲ ἄρτων πολλὰς χιλιάδας κορέσας. καὶ λόγῳ χωλοὺς μὲν ἀρτίποδας ἀποφήνας, λεπρῶν δὲ τὴν λέπραν ἀποξύσας. καὶ χεῖρας ἀργὰς, γοργὰς ἐργασάμενος. καὶ ὀφθαλμοῖς τοῦ βλέπειν ἀφῃρημένοις, ὑγιοῦς τὴν αἴσθησιν χαρισάμενος. καὶ τάφους ἀνοίξας, καὶ πεπεδημένον καὶ δυσώδη νεκρὸν τρέχοντα δείξας, φεύγοντα μὲν τοῦ θανάτου τὰς χεῖρας, πρὸς δὲ τὸν καλέσαντα δημιουργὸν ἐπειγόμενον, καὶ μήτ' ἀπὸ τῆς τοῦ θανάτου πυλῶν, μήθ' ὑπὸ τῶν δεσμῶν κατεχόμενον. ταῦτα καὶ μυρία ἕτε-

Ministerio de Educación, Cultura y Deporte

ρα ἐργασάμενος, βασκαίνεται μὲν ὑπὸ ἰου-
δαίων, δέχεται δὲ τὴν ἐπιβουλὴν ἐθελοντὶ,
τὴν ἐκ ταύτης ἐσομένην τοῖς ἀνθρώποις προορῶν
σωτηρίαν. καὶ ταῦτα ἄνωθεν διὰ τοῦ προφήτου
Ἡσα. ν » προὔλεγεν. ἐγὼ δέ φησιν οὐκ ἀπειθῶ, οὐδὲ
» ἀντιλέγω, ἀλλὰ τὸν νῶτόν μου δέδωκα εἰς μά-
» στιγας. τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα.
» τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰ-
» σχύνης ἐμπτυσμάτων. ταῦτα προφητῶν, ταῦ-
τα παθὼν, τῷ σταυρῷ προσηλοῦται, οὐχ ἁ-
μαρτημάτων δίκας τίνων, ἁμαρτίαν γὰρ
οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στό-
ματι αὐτοῦ, ἀλλὰ τῆς ἡμετέρας φύσεως ἐκτί-
νων τὸ χρέος, ὤφλε γὰρ αὕτη παραβεβηκυῖα
τοῦ πεποιηκότος τοὺς νόμους. ἐπειδὴ ὀφείλουσα
ἐκτίνειν οὐκ ἴσχυσεν, αὐτὸς ὁ δεσπότης σοφῶς
μηχανᾶται τὴν τοῦ ὀφλήματος ἔκτισιν. καὶ ταύ-
της οἷόν τινα κτήματα τὰ μέλη λαβὼν, καὶ
ταῦτα σοφῶς καὶ δικαίως οἰκονομήσας, ἀπο-
πληροῖ τὸ χρέος, καὶ τὴν φύσιν ἐλευθεροῖ. καὶ
τούτων μάρτυρες, Ἡσαΐας καὶ Παῦλος. ὁ
μὲν πρὸ τοῦ πάθους ταῦτα θεσπίσας, ὁ δὲ με-
τὰ τὴν ἔκβασιν ἑρμηνεύσας τὴν πρόρρησιν, τὸ
αὐτὸ δὲ ἐν ἀμφοτέροις ἐφθέγξατο πνεῦμα.
καὶ Ἡσαΐας δὲ πόῤῥωθεν βοᾷ, ἄνθρωπος ἐν
κεφ. νγ » πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν. ἀπὸ

Ministerio de Educación, Cultura y Deporte

γὰρ τοῦ ὁρωμένου προσκοπτοῦσι, ἐπειδὴ τὸ ὁρώ-
» μενον ἔπασχεν. οὗτός φησι, τὰς μαλακίας
» ἡμῶν φορεῖ, καὶ περὶ ἡμῶν ὀδυνᾶται, ἡμεῖς
» δὲ ἐλογισάμεθα αὐτὸν ἐν πόνῳ εἶναι, καὶ ἐν
» πληγῇ ὑπὸ θεοῦ καὶ κακώσει. ὑπελάμβα-
νον γὰρ αὐτὸν οἱ τῷ ξύλῳ προσηλωμένον ὁρῶν-
τες, ὑπὲρ πλείστων ἁμαρτημάτων κολάζε-
σθαι, καὶ δίκας τίνειν ὑπὲρ ἰδίων πλημμε-
λημάτων. διὸ καὶ μέσον αὐτὸν δύο κακούργων
ἰουδαῖοι προσήλωσαν, πονηρὰν αὐτῷ δόξαν
κατασκευάσαι βουλόμενοι. ἀλλὰ τὸ πνεῦμα
» τὸ ἅγιον διὰ τοῦ προφήτου διδάσκει, ὅτι αὐ-
» τὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν. νγ'.
» καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν.
καὶ σαφέστερον τοῦτο διὰ τῆς ἑξῆς ποιεῖ. παι-
» δεία γάρ φησιν εἰρήνης ἡμῶν, ἐπ' αὐτόν. τῷ μώ- νγ'.
» λωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. ἐχθροὶ γὰρ ὄντες
θεοῦ, ἅτε δὴ προσκεκρουκότες, παιδείαν καὶ
τιμωρίαν ὀφείλομεν. ἀλλὰ ταύτης ἡμεῖς μὲν
οὐκ ἐπειράθημεν, αὐτὸς δὲ ταύτην ὑπέμεινε.
ὁ σωτὴρ ὁ ἡμέτερος. ὑπομείνας ταύτην, τὴν
εἰρήνην ἡμῖν τὴν πρὸς θεὸν ἐδωρήσατο. σαφέ-
στερον δὲ τοῦτο δηλοῖ τὰ ἑξῆς. πάντες γάρ φη-
» σιν ὡς πρόβατα ἐπλανήθημεν. ἄνθρωπος νγ'.
» τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. διὰ τοῦτο ὡς πρόβα-
» τον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον

Ministerio de Educación, Cultura y Deporte

„ τοῦ κείροντος αὐτὸν ἄφωνος. ἔπρεπε γὰρ αὐτῷ, τῷ ὁμοίῳ θεραπεῦσαι τὸ ὅμοιον, καὶ διὰ τοῦ προβάτου τὴν τῶν προβάτων ἀνακαλέσασθαι πλάνην. γίνεται δὲ πρόβατον, οὐκ εἰς πρόβατον μεταβληθείς, οὐδὲ τροπὴν ὑπομείνας, οὐδὲ τῆς οἰκείας οὐσίας ἐκστάς, ἀλλὰ τοῦ προβάτου τὴν φύσιν σαφῶς ἐνδυσάμενος. καὶ οἷον ὁ ἡγούμενος τῆς ποίμνης κριὸς, κτῆλος τῆς ποίμνης γενόμενος, καὶ ἀκολουθεῖν αὐτῷ πάντα τὰ πρόβατα παρασκευάσας. ὡς πρόβατον τοιγαροῦν καὶ ἱερεῖον ἐγένετο. καὶ ὑπὲρ παντὸς τοῦ γένους προσηνέχθη θυσία. οὐχ ἁπλῶς δὲ ὁ προφήτης καὶ σφαγῆς ὁμοῦ καὶ κουρᾶς ἐμνημόνευσεν, ἀλλ' ἐπειδὴ θεὸς ἦν καὶ ἀμνὸς, τοῦ δὲ σώματος σφαττομένου, ἀπαθὴς ἔμενεν ἡ θεία φύσις, ἀναγκαίως
νγ'. καὶ ὁ θεσπέσιος Ἡσαΐας, καὶ τὴν τοῦ προβάτου σφαγὴν, καὶ τοῦ ἀμνοῦ τὴν κουρὰν ἡμῖν ὑπέδειξεν. οὐ γὰρ μόνον φησὶν ἐσφάγη, ἀλλὰ καὶ ἀπεκείρατο. καὶ γὰρ κατὰ τὸ ἀνθρώπινον τὸν θάνατον ὑπέμεινεν. ὡς γοῦν θεὸς ζῶν καὶ ἀπαθὴς διαμένων τὸν τοῦ σώματος πόκον τοῖς κείρουσιν ἔδωκεν. οὕτω καὶ ὁ μακάριος Ἡσαΐας, τὰ σωτήρια ἡμῖν ὑπέδειξε πάθη, καὶ τῶν παθῶν τὰς αἰτίας ἐδίδαξε. καὶ ὁ θειότατος δὲ Παῦλος ἄντικρυς βοᾷ.

Ministerio de Educación, Cultura y Deporte

„ Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας Γαλ. γ'
„ τοῦ νόμου. γενόμενος ὑπὲρ ἡμῶν κατάρα.
„ γέγραπται γάρ, ἐπικατάρατος πᾶς ὁ κρε- Δευ. κβ
„ μάμενος ἐπὶ ξύλου. εἰπὼν δὲ ὑπὲρ ἡμῶν.
ἔδειξεν, ὡς ἀνεύθυνος ὢν καὶ πάσης ἁμαρ-
τίας ἐλεύθερος, τὸ ἡμέτερον ἀπέδωκε χρέ-
ος, καὶ μυρίοις ἡμᾶς ὀφλήμασιν ὑποκει-
μένους. καὶ τούτου χάριν δουλεύειν ἠναγκασ-
μένους, ἐλευθερίας ἠξίωσεν ἡμᾶς, καὶ πριάμε-
νος, καὶ τιμὴν τὸ οἰκεῖον αἷμα καταβαλών.
διὸ ἐτορώθι ὁ αὐτὸς βοᾷ λέγων. τιμῆς ἠγορά- α'. κορ. ζ'.
σθημεν. τούτου χάριν καὶ τὸν διὰ σταυροῦ κατε-
δέξατο θάνατον. ἐπειδὴ κατάρατον ἦν κα-
τὰ τὸν νόμον τούτου τοῦ θανάτου τὸ εἶδος, κα-
τάρατος δὲ ἦν καὶ ἡ φύσις, ὡς παραβεβηκυῖα
τὸν νόμον, ἐπικατάρατος γάρ φησι πᾶς, ὃς
οὐκ ἐμμένει τοῖς ἐγκειμένοις ἐν τῷ βιβλίῳ τοῦ
νόμου τοῦ ποιῆσαι αὐτά, τούτου χάριν τὴν
κοινὴν ἀναδέχεται κατάραν, καὶ λύει ταύ-
την τῇ ἀδίκῳ σφαγῇ. μὴ ὑποκείμενος δὲ τῇ
κατάρᾳ, ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ
εὑρέθη ἐν τῷ στόματι αὐτοῦ δόλος, τὸν τῶν ἁ- Ησα. νγ
μαρτωλῶν ὑπέμεινε θάνατον, καὶ δικάζεται
τῷ ἀλάστορι τῷ κοινῷ τῆς φύσεως δυσμενεῖ,
πρόμαχος ὁμοῦ καὶ συνήγορος τῆς ἡμετέρας
φύσεως γεγονώς, καί φησιν εἰκότως πρὸς τὸν

Ministerio de Educación, Cultura y Deporte

» πικρὸν ἡμῶν τύραννον. ἑάλως παμπόνηρε,
» καὶ τοῖς σαυτοῦ δικτύοις τεθήρασαι, καὶ ἡ
» ῥομφαία σου εἰσελήλυθεν εἰς καρδίαν σου, καὶ
» τὰ τόξα σου συνετρίβη. ὤρυξας βόθρον, καὶ
» ἐνέπεσας εἰς αὐτόν. εἰπὲ γοῦν, τί δήποτέ μου τὸ
σῶμα τῷ σταυρῷ προσήλωσας, καὶ τῷ θα-
νάτῳ παρέπεμψας; ποῖον εἶδος ἁμαρτίας ἐν
ἐμοὶ θεασάμενος; ποίαν τοῦ νόμου θεωρήσας
παράβασιν; ἐρεύνησον νῦν γοῦν ἀκριβέστερον
ἐν τῷ ἰκρίῳ γυμνὸν τοῦτο θεώμενος. βλέπε καὶ
γλῶτταν, κηλῖδος ἀπηλλαγμένην. καὶ ἀκοὴν
βλάβης ἁπάσης ἐλευθέραν. καὶ ὀφθαλμοὺς,
λύμην οὐδεμίαν ἔξωθεν δεξαμένους. καὶ χεῖ-
ρας, ἀδικίας μὲν πόρρω γεγενημένας, δικαιο-
σύνῃ δὲ πάσῃ κεκοσμημένας. καὶ πόδας, οὐκ
Ἡσα. νθ ἐπὶ πονηρίαν προφητικῶς εἰπεῖν δραμόντας,
ἀλλὰ τὸν τῆς ἀρετῆς δίαυλον ἀνύσαντας.
ἐρεύνησον ἅπαντα λίαν ἀκριβῶς τὰ τοῦ σώμα-
τος μόρια. ἐρεύνησον τῆς ψυχῆς τὰ κινήμα-
τα. ἐὰν γοῦν μικρὸν εὑρεθῇ πλημμέλημα,
καλῶς κατέχεις καὶ μάλα δικαίως, ἐπιτί-
μιον γὰρ τῶν ἡμαρτηκότων ὁ θάνατος, εἰ δὲ μη-
δὲν εὑρίσκεις, ὧν ὁ θεῖος ἀπαγορεύει νόμος, πάν-
τα δὲ μᾶλλον, ὅσα ἐκεῖνος διαγορεύει, οὐκ ἐῶ
σε κατέχειν ὃ μὴ θέμις κατέχειν. μᾶλλον δὲ
καὶ τοῖς ἄλλοις αἴτιος τοῦ θανάτου τὸ δεσμω-
ται

Ministerio de Educación, Cultura y Deporte

τήριον, σὺ δὲ καθεῖρξω μόνον, ὡς τὸν νόμον παραβεβηκότα τὸν θεῖον. ὁ γὰρ θεῖος νόμος τοὺς ἡμαρτηκότας τῷ θανάτῳ παρέπεμψε, σὺ δὲ καὶ τὸν ἁμαρτίας ἀμύητον παρέδωκας τοῖς τοῦ θανάτου δεσμοῖς. καὶ γέγονέ σοι ἡ ἀπληστία, ἀπηνείας ἐσχάτης αἰτία. καὶ σὺ ἄρα λαβὼν ἀδίκως, πάντων ἐγυμνώθης τῶν ὑπηκόων δικαίως, καὶ φαγὼν τροφὴν οὐκ ἐδώδιμον, πᾶσαν ἐμέσεις τὴν ἤδη καταποθεῖσαν, καὶ διδάξεις ἅπαντας τοῖς προσοῦσιν ἀρκεῖσθαι, καὶ τῶν μὴ προσηκόντων ἀπέχεσθαι. ἀναμνήσθητι, τίνος ἕνεκεν ὁ γενάρχης Ἀδὰμ παρεδόθη θανάτῳ. πάντων ἐκεῖνος τῶν τοῦ παραδείσου φυτῶν τὴν ἐξουσίαν λαβὼν, οὐκ ἠρκέσθη τοῖς δοθεῖσιν, ἀλλὰ κατετόλμησε τοῦ τῆς γνώσεως φυτοῦ, οὗ τὴν μετάληψιν ὁ ποιητὴς ἀπηγορεύκει. καὶ ἀπληστίαν νοσήσας, καὶ τοῦ μὴ προσήκοντος ἐπιθυμήσας, παντὸς ἀπεστερήθη τοῦ παραδείσου. τούτοις σε τοῖς ἐπιτιμίοις ὑποβαλῶ. ἄδικον γὰρ τὸν μὲν ἐξαπατηθέντα, τοιαύτην ὑπομεῖναι ζημίαν, τὸν δὲ ἐξαπατήσαντα, μὴ τὴν αὐτὴν ὑποστῆναι τιμωρίαν. Ἐπειδὴ τοίνυν καὶ σὺ τὴν κατὰ τῶν ἡμαρτηκότων ἐξουσίαν λαβὼν, ἥψω σώματος ἁμαρτίαν οὐδεμίαν εἰργασμένου, ἔκβηθι τῆς ἐξουσίας, ἔκστηθι τῆς τυραννίδος. πάντας ἐλευθερώ-

Ministerio de Educación, Cultura y Deporte

στω τοῦ θανάτου. οὐχ ἁπλῶς χρώμενος τῇ τυ-
ραννικῇ δεσποτείας ἐξουσίᾳ, ἀλλ' ἐξουσίᾳ δικαίᾳ. ἀπο-
δέδωκα γὰρ ὑπὲρ τοῦ γένους τὸ χρέος. οὐκ ὀφεί-
λων γὰρ θάνατον, θάνατον ὑπέμεινα, καὶ μὴ
ὑποκείμενος θανάτῳ, ὑπεδεξάμην τὸν θά-
νατον. καὶ αὐθέντης ὢν, ἐνεγράφην τοῖς ὑπευ-
θύνοις. καὶ ὀφλημάτων ὑπάρχων ἐλεύθερος,
μετὰ τῶν ὀφειλόντων ἐτάχθην. ἀπέδωκα τοί-
νυν τὸ τῆς φύσεως ὄφλημα. καὶ θάνατον ἄδι-
κον ὑπομείνας, καταλύω τὸν δίκαιον. καὶ
τοὺς ἐνδίκως κατεχομένους, ἀδίκως κατασχε-
θεὶς, τῆς εἱρκτῆς ἀπολύω. βλέπε τὸ γραμ-
ματεῖον τῆς φύσεως ἀπειλημμένον ὦ πικρὲ
θάνατε. βλέπε αὐτὸ τῷ σταυρῷ προσηλωμέ-
νον, καὶ τῶν γραμμάτων τῆς ἁμαρτίας ἀ-
πηλλαγμένον. βλέπε αὐτὸ πονηρίας ὑπο-
γραφὴν οὐ δεδεγμένον. ἀπέδοσαν τοίνυν οἱ
τοῦδε τοῦ σώματος ὀφθαλμοὶ, ὑπὲρ τῶν κα-
κῶς θεασαμένων ὀμμάτων. αἱ τοῦδε ἀκοαὶ,
ὑπὲρ τῶν ἀκοῶν τὸν μολυσμὸν δεξαμένων. ἡ
γλῶττα ὡσαύτως, αἱ χεῖρες, καὶ τὰ λοιπὰ
μόρια, ὑπὲρ τῶν ἡντιναοῦν ἁμαρτίαν διαπρα-
ξαμένων μελῶν. τοῦ δὲ χρέους ἐκτισθέντος, προ-
σήκει τοὺς τούτου χάριν καθειργμένους, τῆς εἱρ-
κτῆς ἀπαλλαγῆναι, καὶ τὴν προτέραν ἀπο-
λαβεῖν ἐλευθερίαν, καὶ εἰς τὸ πατρῷον χωρίον
ἐπανελθεῖν.

Ministerio de Educación, Cultura y Deporte

ἐπανελθεῖν. ταῦτα λέγων ὁ κύριος, τό, τε οἰ-
κεῖον ἀνέστησε σῶμα, καὶ τῇ φύσει τῶν ἀνθρώ-
πων τῆς ἀναστάσεως ἐλπίδα κατέσπειρεν,
ἐχέγγυον ἅπασι δεδωκὼς τοῦ οἰκείου σώματος
τὴν ἀνάστασιν. καὶ μή τις οἰέσθω ταῦτα ἡμᾶς
ἀδολεσχεῖν, ἐκ γὰρ τῶν ἱερῶν εὐαγγελίων, καὶ
τῶν ἀποστολικῶν παιδευμάτων, ταῦτα οὕ-
τως ἔχειν ἐπαιδεύθημεν. ἠκούσαμεν γὰρ αὐτοῦ
» τοῦ κυρίου λέγοντος. ἔρχεται ὁ τοῦ κόσμου ἄρχων, Ιωάν.
» καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. οὐδὲν γὰρ ἔχω φησὶ ιδ'.
τῶν τῆς ἁμαρτίας γνωρισμάτων. ἐλεύθε-
ρον ἔχω πάσης παρανομίας τὸ σῶμα, ἀλλ' ὅ-
μως καὶ μηδὲν εὑρίσκων, ὡς μυρίοις ὀφλήμα-
σιν ὑποκείμενον, παραδώσει τῷ θανάτῳ. ἐγὼ
δὲ ἀνέχομαι, δικαίως ἐκβαλεῖν αὐτὸν τῆς τυ-
ραννίδος ἐθέλων. διὸ καὶ αὖθις ἐν ἑτέρῳ χω-
» ρίῳ φησί. νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν Κεφ. ιβ
» ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω.
τῆς γὰρ κρίσεως γινομένης, κατακριθήσεται.
καὶ ὡς ἄδικον κατ' ἐμοῦ τὴν ψῆφον ἐξενεγ-
κὼν, τῆς τυραννίδος ἐκβληθήσεται. εἶτα ἐκ-
διδάσκων ὡς οὐ μόνον τὸ οἰκεῖον σῶμα τῆς τοῦ
θανάτου δυναστείας ἐλευθερώσει, ἀλλὰ πᾶ-
σαν ὁμοῦ τῶν ἀνθρώπων τὴν φύσιν, εὐθὺς ἐπή-
» γαγε λέγων. κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάν-
» τας ἑλκύσω πρὸς ἐμαυτόν. οὐ γὰρ ἀνέξομαι



Ministerio de Educación, Cultura y Deporte

» μόνον ἀναστῆσαι ὃ ἀνελαβόμην σῶμα, ἀλλὰ
πᾶσιν ἀνθρώποις πραγματεύσασθαι τὴν ἀ-
νάστασιν, τούτου χάριν ἐλήλυθα, καὶ τὴν τοῦ
δούλου μορφὴν ἀνελαβόμην. ἔδει σφαγῆναί τε
Ησα. νγ' ὑπαχθῆναι, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐ-
τὸν ἄφωνος. Ταῦτα καὶ ὁ μακάριος Παῦ-
λος φησί, Κολοσσαεῦσι γράφων, καὶ δι' αὐτῆς
» ἅπασιν ἀνθρώποις. καὶ ὑμᾶς γάρ φησι νε-
Κεφ. β' » κροὺς ὄντας τοῖς παραπτώμασι, καὶ τῇ ἀκρο-
» βυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησε σὺν αὐ-
» τῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώ-
» ματα. ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον
» τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν. καὶ αὐτὸ
» ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ.
» ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας,
» τουτέστι τὰς ἐναντίας δυνάμεις, ἐδειγμάτισεν
» ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. του-
τέστιν ἀναμάρτητον αὐταῖς τὸ οἰκεῖον ἐπιδεί-
ξας σῶμά τε καὶ ψυχήν, καὶ τὴν κατ' αὐτοῦ γινο-
μένην ἄδικον αὐτῶν ψῆφον ἐλέγξας. καὶ ταῦτα
πεποιηκώς, συνεζωοποίησε πᾶσαν τὴν τῶν ἀν-
θρώπων φύσιν. καὶ μυρίας δὲ ἑτέρας μαρ-
τυρίας ἔστιν εὑρεῖν παρὰ τῇ θείᾳ γραφῇ, ταῦ-
τα οὕτως ἔχειν διδασκούσας, ἀλλ' εἰ συλλέ-
γειν ἁπάσας ἠθελήσαμεν, καὶ τὴν προσήκου-
σαν ἑκάστῃ ἑρμηνείαν ποιήσασθαι, μῆκος ἀ-

Ministerio de Educación, Cultura y Deporte

πειρον ἐργασόμεθα. τοῖς φιλομαθέσι τοίνυν
αὐτὰς συλλέγειν καταλιπὼν, ἐπὶ τὰ συνε-
χῆ βαδιοῦμαι τῷ λόγῳ. Οὕτω τοίνυν ὁ δε-
σπότης, ὡς κατέλυσε τὸν θάνατον, καὶ τὴν
ἡμετέραν πραγματευσάμενος σωτηρίαν, εἰς
τοὺς οὐρανοὺς ἀνελήλυθε, καὶ τοῖς τῆς δυσσε-
βείας τροφίμοις τῆς αὐτῆς ἀνόδου τὰς ἐλπί-
„ δας κατέλιπεν. ὅταν γάρ φησιν ὑψωθῶ, πάν- Ἰωάν.
„ τας ἑλκύσω πρὸς ἐμαυτόν. τοσαύτη τοῦ θεοῦ ιβ'.
τῶν ὅλων ἡ περὶ τοὺς ἀνθρώπους κηδεμονία.
τοσαύτην ὁ ποιητὴς τῆς ἀρχαίας δημιουργίας
ἐποιήσατο πρόνοιαν. τοσαύτη τοῦ πρωτοτύ-
που περὶ τὴν οἰκείαν εἰκόνα ἡ προμήθεια.
ἐδημιούργησεν ἐξ ἀρχῆς, τῇ ὁμοιώσει τετίμη-
κεν, ἀλλ' ἀγνώμων αὕτη περὶ τὸν πεποιηκό-
τα γεγένηται, καὶ τὴν εἰκόνα τὴν θείαν δια-
φθείρασα, τοὺς τῶν θηρίων χαρακτῆρας ἐδέ-
ξατο. καὶ ἀντὶ θεοειδοῦς, θηριώδης ἐγένετο. ἀλ-
λ' οὐ περιεῖδεν αὐτὴν ὁ δημιουργὸς τὴν τῶν θη-
ρίων περικειμένην μορφὴν, ἀλλ' ἀνεούργησεν
αὐτὴν, καὶ εἰς τὴν προτέραν εὐπρέπειαν
ἐπανήγαγε, καὶ τὴν παλαιὰν ἀποδέδωκεν
εὐμορφίαν, καὶ υἱοὺς τοὺς οὐδὲ δούλους ἀξίους
ἀπέφηνεν. ἀλλὰ γάρ εἰσί τινες μηδὲν ἐργαζό-
„ μενοι κατὰ τὸν μακάριον Παῦλον, ἀλλὰ πε- β'. Θεσ
„ ριεργαζόμενοι, καὶ πολυπραγμονοῦντες ἃ μὴ σαλ. γ'



Ministerio de Educación, Cultura y Deporte

» θέμις, καὶ τῆς θείας σοφίας τὴν ἄβυσσον
τοῖς οἰκείοις λογισμοῖς μετρῆσαι φιλονεικοῦν-
τες, καὶ λέγοντες· τίνος χάριν οὐκ ἐξ ἀρχῆς
ταῦτα ᾠκονόμησεν ὁ θεὸς, ἀλλὰ μετὰ πολ-
λὰς ἐτῶν χιλιάδας; Ἀλλ' ὅτι μὲν γὰρ τὰ τοιαῦ-
τα πολυπραγμονεῖν, λίαν ἐστὶ θρασὺ καὶ
τολμηρὸν, αὐτοὶ φαῖεν, οἱ τὰ τοιαῦτα διερευ-
νώμενοι. Ἵνα δείξωμεν ὅτι οὐκ ἐκ μεταμελείας
ταῦτα τὸν θεὸν οἰκονομήσαντα, ἀλλ' ἄνωθεν
καὶ ἐξ ἀρχῆς ταῦτα διαταξάμενον, φέρε τὴν
θείαν γραφὴν εἰς μέσον παραγάγωμεν, καὶ
ἀκούσωμεν πρῶτον αὐτοῦ τοῦ δεσπότου Χριστοῦ,
Ματθ. » ἐν τοῖς εὐαγγελίοις λέγοντος· δεῦτε οἱ εὐλο-
κε'. » γημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν
» ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβο-
» λῆς κόσμου. εἰ δὲ πρὸ καταβολῆς κόσμου
τοῖς ἀποστόλοις, καὶ τοῖς δι' ἐκείνων πεπιστευκό-
σι τὴν βασιλείαν ηὐτρέπισεν, εὔδηλον ὡς ἄ-
νωθεν μὲν βούλεται ταῦτα ὁ θεὸς, καὶ οὐ
νῦν μὲν ἄλλα, νῦν δὲ ἕτερα. οἰκονομεῖ δὲ ἐν ἑκά-
στῳ καιρῷ τὰ πρόσφορα, καὶ τῇ δυνάμει τῶν
ἀνθρώπων τὰς διδασκαλίας μετρεῖ. τούτου
χάριν τῷ Ἀδὰμ, οἷον ἀρτιγενεῖ βρέφει, τὴν πε-
Γεν. β'. ρὶ τοῦ ξύλου δίδωσιν ἐντολήν. περιττὸς γὰρ ἦν
ἐκείνῳ νόμος πᾶς περὶ μοιχείας, καὶ φόνου,
καὶ τῶν λοιπῶν διηγορευμένος. Ἵνα γὰρ αὖ

Ministerio de Educación, Cultura y Deporte

ἐμοίχευσε μιᾶς οὔσης τηνικάδε γυναικός; ἵ-
να δὲ ἂν ἐφόνευσεν οὐκ ὄντος τοῦ προξενοῦντος;
κατὰ τίνος δ' ἂν ψευδομαρτυρίαν ὕφηνεν, ἢ
ἀδικίαν ἐπεκτήνατο; ἀλλ' οὐχὶ μόνον λαμβά-
νει τὸν περὶ τῶν φυτῶν νόμον νηπιώδη τινὰ, καὶ
βρέφεσιν ἀρτιτόκοις ἁρμόττοντα. Πάλιν δὲ Γεν. ϛ'
τῆς φύσεως αὐξηθείσης μετὰ πολλῶν ἐτῶν καὶ ζ'.
ἀριθμὸν, τῷ Νῶε περὶ βρωμάτων νομοθε-
τεῖ, καὶ παρακελεύεται πάντων ἀφθόνως μετα-
λαμβάνειν κρεῶν, τῶν καθαρῶν δηλαδὴ, καὶ
γὰρ τούτων αὐτὸν τὴν διαφορὰν ἐξεπαίδευσε,
μόνου δὲ ἀπαγορεύει τοῦ αἵματος τὴν μετά-
ληψιν. Ἐκεῖθεν μετὰ χρόνου πολλοῦ περίοδον, Γεν. ιβ'
καλεῖ μὲν τὸν Ἀβραὰμ, κελεύει τὴν πατρῴαν καὶ ἑξῆς
καταλιπεῖν οἰκίαν. ἄγει δὲ αὐτὸν, εἰς τὴν πά-
λαι μὲν Χαναναίων, νῦν δὲ Παλαιστηνῶν προσ-
αγορευομένην χώραν, καὶ δίδωσιν αὐτῷ τὴν τῆς
περιτομῆς ἐντολὴν, ἵν' ἔχῃ τὸ ἐκ τούτου γένος
σημεῖον τῆς εὐσεβείας τῶν περιττῶν τὴν ἀ-
φαίρεσιν. Τοῦ δὲ λιμοῦ τὴν ἀνάγκην ἐπαγα- Γεν. κ'
γὼν, πανταχόσε περιάγει κήρυκα τῆς εὐσεβείας,
καὶ Αἰγυπτίοις καὶ Παλαιστινοῖς ἀναφαίνων
τὸν οἰκεῖον θεράποντα. καὶ συγχωρεῖ μὲν ἁρ-
παγῆναι παρὰ τῶν βαρβάρων τὴν τοῦδε ὁμό-
ζυγα, ἁρπαχθείσης δὲ ὑπερήσπισε, καὶ τοὺς
ἁρπάζοντας ἐμαστίγωσε. καὶ τοὺς θηρευτὰς τῆς



Ministerio de Educación, Cultura y Deporte

γυναικὸς γενομένοις μεταλαμβάνειν τῆς θή-
ρας οὐκ εἴασεν, ἀλλ' ἐν τοῖς τῶν δικτύων ἔχον-
τος ὧν ἤγρευσαν, οὐκ ἀπήλαυσαν. αὐτοὶ δὲ,
ἄρκυσιν ἀοράτοις ἠγρεύοντο, καὶ ἐμάνθανον
διὰ τῆς πείρας τὴν τοῦ ξένου φιλοθεΐαν. καὶ
μετεπέμποντο τὸν ξένον, τὸν ἐπήλυδα, τὸν ὀ-
Γεν. κ'. θνεῖον, οἱ τῶν ἐθνῶν ἐκείνων βασιλεύοντες. καὶ
ἱκέται τοῦ ξένου ἐγίνοντο. ὁ δὲ, πρόφασιν λαμ-
βάνων, προσέφερε τοῖς ἀγνοοῦσι τὰ τῆς εὐσε-
βείας παιδεύματα. καὶ ἡ ἀδικία, τῆς εὐσε-
βείας τὴν ὁδὸν ἀνέῳγεν. καὶ ἡ παράνομος πλεο-
νεξία, πρόξενος θεογνωσίας ἐγίνετο. οὕτω
κ'. καὶ κθ' ἕως λβ'. τὰ κατὰ τὸν Ἰσαὰκ καὶ Ἰακὼβ ᾠκονόμησεν.
ὁ μὲν γὰρ, τῷ Ἀβιμελὲχ εὐηργέτησεν. ὁ δὲ, τῷ
Λάβαν τὸν ὄντα θεὸν ὑπέδειξε, καὶ τῶν οὐκ
ὄντων μὲν, δοκούντων δὲ τὴν ἀσθένειαν ἤλεγ-
λς'. ξεν. οὕτω τὰ κατὰ τὸν Ἰωσὴφ ᾠκονόμησε. καὶ
δοῦλον γενέσθαι πρότερον συγχωρήσας, διὰ
λθ'. δουλείας καὶ συκοφαντίας καὶ δεσμῶν τῆς
μ'. Αἰγύπτου αὐτῷ τὰς ἡνίας ἐνεχείρισε. καὶ
πρῶτον μὲν ἕνα θεὸν τῷ οἰνοχόῳ κηρύττει, εἶτα
τῷ βασιλεῖ τὴν αὐτὴν ταύτην διδασκαλίαν
προσφέρει. ἐκεῖθεν τοὺς οἴακας δεξάμενος, ἅ-
Ἐξόδ. α'. παν σοφῶς ἰθύνει τὸ σκάφος. οὕτω τὸν Ἰσρα-
β'. γ'. δ'. ὴλ αὐξηθέντα, τῆς Αἰγυπτιακῆς ἀπαλλάξαι
καὶ ἑξῆς. δουλείας ἐθελήσας, μετὰ πολλῶν καὶ μεγά-

Ministerio de Educación, Cultura y Deporte

λων ἀπαλλάττεσθαι θαυμάτων, τὸ ἐπίσημον αὐ-
τῶν ἐντεῦθεν μηχανώμενος. τῶν γὰρ ἐθνῶν
ἁπάντων τοῦτο τὸ ἔθνος θεογνωσίας ἐχειροτό-
νησε διδάσκαλον. καὶ καθάπερ εἰς τὴν τούτου Ἐξόδ.
τοῦ ἔθνους ἐπιμέλειαν, νῦν μὲν ἐξελέξατο τὸν Ἰησ. α'.
Μωϋσῆν, νῦν δὲ τὸν Ἰησοῦν, καὶ πάλιν τὸν Σα- β'.
μουὴλ, ἄλλοτε δὲ ἄλλον τῶν προφητῶν, καὶ
δι' ἑνὸς ἀνθρώπου φιλοσοφίαν ἀσκοῦντος, ἅ-
παντας εὐηργέτει τοὺς ὁμοφύλους. οὕτω δι' ἑ-
νὸς ἔθνους τοῦ Ἰσραὴλ, πάντα τὰ ἔθνη τὰ τὴν
αὐτὴν ἔχοντα φύσιν, εἰς τὴν τῆς εὐσεβείας
κοινωνίαν ἐκάλει. καὶ ὅτι ταῦτα οὕτως ἔχει,
μαρτυρεῖ μὲν Ῥαὰβ ἡ πόρνη, ἀλλόφυλος μὲν
οὖσα καὶ πόρνη, ἀρνηθεῖσα δὲ μόνη τῇ φήμῃ,
καὶ διὰ ταύτης τὴν εὐσέβειαν δεξαμένη, καὶ
τοὺς μὲν οἰκείους προεμένη, τοὺς δὲ ἀλλοτρίους
» ἀσπασαμένη. ἠκούσαμεν γάρ φησιν ὅσα ἐποίη- Ἰησ. β'.
» σεν κύριος ὁ θεὸς ὑμῶν τοῖς Αἰγυπτίοις.
» καὶ ἔπεσεν ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς. διὰ τοῦτο
συνθήκας πρὸς τοὺς κατασκόπους ποιεῖται,
καὶ ὅρκῳ ταύτας βεβαιοῖ. μαρτυροῦσι δὲ
καὶ οἱ ἀλλόφυλοι, δείσαντες τῆς κιβωτοῦ τὴν
παρουσίαν, καὶ πρὸς ἀλλήλους εἰρηκότες. οὗ-
» τος ὁ θεὸς, ὁ πατάξας τὴν Αἴγυπτον. οὐαὶ α'. βα-
» ἡμῖν ἀλλόφυλοι. τούτου χάριν ὁ θεὸς παρα- σιλ. δ'
δίδωσι μὲν τοῖς ἀλλοφύλοις τὴν κιβωτὸν, τὴν



Ministerio de Educación, Cultura y Deporte

τοῦ λαοῦ παρανομίαν ἐλέγχων. οὐ γὰρ ἔδει τὸν
νόμον ποιήσασθαι πρόμαχον, τοὺς προφανῶς
παραβεβηκότας τὸν νόμον. παραδοθείσης δὲ,
φυλάττει τὸ σέβας, διδάσκων τοὺς ἀλλοφύ-
α΄. Βασιλ. ε΄. λους ὡς οὐ θεὸν ἐνίκησαν, ἀλλὰ ἀνθρώπων
παρανομίαν. διὰ τοῦτο τὸν Δαγὼν τὸν ὑπ' ἐκεί-
νων ὡς θεὸν προσκυνούμενον, εἴδωλον δὲ τοῦτο
ὂν ἄφωνον καὶ ἀναίσθητον, πεσεῖν πρὸ τῆς κι-
βωτοῦ, καὶ τὸ τῶν προσκυνούντων ἦθος δεῖξαι
παρασκευάζει, ἵνα μάθωσιν οἱ ἀλλόφυλοι τὸ
διάφορον. οἱ δὲ πάλιν μὲν ἀνοήτως ἀνορθοῦ-
σι, πάλιν δὲ ὁρῶσι καταπεπτωκότα καὶ προσ-
*νοῦσιν κυνοῦντα*. εἶτα πολλὴν ἔχοντες ἀβελτη-
ρίαν, καὶ τὸ διάφορον ὁρᾶν οὐκ ἐθέλοντες, τῇ
πείρᾳ σωφρονεῖν ἐδιδάχθησαν. καὶ παιδευ-
θέντες ἀνένηψαν, καὶ τῆς ἀγνοίας τὴν μέθην
ἐξέβαλον, καὶ πέμπουσιν ὡς ἔδει τὴν κιβωτὸν
τοῖς οἰκείοις θεραπευταῖς, καὶ ἀναθήμασι τε-
τιμηκότες, τὰς παιδείας κηρύττουσι. καὶ τοὺς
ὑποδεχομένους αὐτὴν, διδάσκουσι τῆς ἐπανό-
δου τὸν τρόπον. τοῦτο καὶ ἐπὶ τοῦ Βαλτάσαρ
Δαν. ε΄. » πεποίηκεν ὁ θεός. Ἐπειδὴ γὰρ εἰς πολλὴν ἀσέ-
καὶ ἑξῆς » βειαν ἐξωκείλαντα τὸν λαὸν, δορυάλωτον
ἔπεμψεν εἰς Βαβυλῶνα, καὶ τὰ ἱερὰ σκεύη
λάφυρα τῶν πολεμίων ἐγένετο, ὁ μὲν Ναβου-
χοδονόσορ, ἅτε δὴ θεῖα, τῆς κοινῆς αὐτὰ πορ

Ministerio de Educación, Cultura y Deporte

ρω πεποίηκε χρήσεως, εἰς δὲ τὸν ναὸν τῶν νομιζομένων ὑπ' αὐτῷ θεῶν εἰσκεκόμικεν. ὁ δὲ ἐκείνου παῖς, Βαλτάσαρ φημὶ, ταῖς πατρῴαις οὐ παιδευθεὶς συμφοραῖς, οὐδὲ σκοπήσας ὁποίας ἐκεῖνος δίκας τῆς ἀλαζονείας ἐξέτισε, καὶ ταῦτα ὡς ἐνόμισε τὰ θεῖα σκεύη τετιμηκὼς, φέρει μὲν εἰς μέσον τὰ ἅπαξ ἀφιερωθέντα θεῷ, πίνει δὲ ἀπὸ τούτων ὁ ἀλιτήριος, προσφέρει δὲ καὶ τοῖς συμπόταις τὰ ἄψαυστα. ἀλλὰ τούτων γινομένων, κατὰ τοῦ ἀλάστορος ἐξεφέρετο ψῆφος. καὶ χεὶρ ἀφανοῦς τινος ἐνέγραψε τῷ τοίχῳ τοῦ θεοῦ τὴν ἀπόφασιν. καὶ ὁ μὲν, ἀπορίᾳ κατείχετο, οὔτε ἀναγινώσκειν, οὔτε γινώσκειν δυνάμενος τῶν γεγραμμένων τὴν δύναμιν. ἡ δὲ μήτηρ, τὸν πολλάκις περὶ τοιαύτας ἀπορίας διαλύσαντα ἦγεν εἰς μέσον Δανιήλ. ὁ δὲ, ἀνεγίνωσκέ τε καὶ ἡρμήνευε, καὶ τῆς τιμωρίας τὴν αἰτίαν ἐδίδασκε, λέγων. ὡς ἡμεῖς δίκας ἁμαρτημάτων τίνοντες, δορυάλωτοι γεγενήμεθα. καὶ ταῦτα δὴ τὰ σκεύη, ἅ τε δὴ παρ' ἡμῶν ἀνατεθέντα, παρὰ ἐξανδραποδίσαντι παρέδωκεν ὁ θεὸς, διδάσκων ἡμᾶς, ὡς οὐ δεόμενος τούτων θυόντων ἠνείχετο. ἀλλὰ μέχρι μὲν ηὐσεβοῦμεν, ἐδέχετο ταῦτα παρ' ἡμῶν προσφερόμενα, θεραπεύειν ἡμᾶς ἐθέλων, ἡνίκα δὲ εἰς ἀσέβειαν ἐξωκείλαμεν, καὶ τὰ προσενεχθέντα

Ministerio de Educación, Cultura y Deporte

τὴν ἡμῶν ἀπέῤῥιψε δῶρα. ἀλλὰ ταῦτα μὲν
οὔ πω πως ὁ σὸς πατὴρ παιδευθεὶς, ἐτίμησεν
ὡς ἐνόμισεν, ἀνθρωπείας μὲν αὐτὰ χρείας
πόῤῥω πεποιηκὼς, τοῖς δὲ νομιζομένοις ἀνα-
θεὶς θεοῖς. σὺ δὲ οὐδὲ τὴν ὑπ' ἐκείνου γεγενη-
μένην λογισάμενος τιμὴν, εἰς τὸ τῆς ἀλαζονείας
ἐξέπεσας βάραθρον, καὶ τοῖς ἱεροῖς ἐνετρύφας
ἐκπώμασι. τούτου χάριν ὁ τούτων σε διδάσκει
δεσπότης οἷον τῆς ἀλαζονείας τὸ τέλος, οὐ τῶν
ἀψύχων κηδόμενος, ἀλλὰ τῶν ἀνθρώπων προμη-
θούμενος. καὶ διὰ τῆς σῆς τιμωρίας, πολλοῖς ἀν-
θρώποις εὐταξίας ὑπόθεσιν προτιθείς. ταῦ-
τα ὁ μὲν ἔλεγεν. ὁ δὲ, νύκτωρ τὴν τιμωρίαν
ἐδέχετο. ἄθρει τοιγαροῦν, πῶς ἀνθρώπων
ἁπάντων ἀεὶ προυνόησε τῶν ὅλων ὁ ποιητής. καὶ
οὐ μόνον τῶν ἐξ Ἀβραὰμ καταγόντων τὸ γένος,
ἀλλὰ πάντων τῶν ἐξ Ἀδάμ. καὶ διὰ τοῦ ἑνὸς ἔ-
θνους, ἅπαντα ἐποδήγει πρὸς θεογνωσίαν τὰ
ἔθνη. καὶ οὐ μόνον ἡνίκα ηὐσέβει προσέφερε
τὴν διδασκαλίαν τούτων πᾶσιν ἀνθρώποις,
ἀλλὰ καὶ ὅτι τῆς παρανομίας εἰσεπράττετο
δίκας. ἀμέλει τὸν Ναβουχοδονόσορ ἐκεῖνον, τὸν
ἀλαζόνα, τὸν τύραννον, τὸν τὴν εἰκόνα τὴν χρυ-
Ησα. ιδ' » σῆν ἀνορθώσαντα, τὸν εἰπόντα. ἐπάνω τῶν
» ἄστρων θήσω τὸν θρόνον μου, καὶ ἐπάνω τῶν νεφε-
» λῶν ἀναβήσομαι, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ.

Ministerio de Educación, Cultura y Deporte

„ καὶ καταλήψομαι τῇ χειρὶ τὴν οἰκουμένην ὅ- Ησα. ι'
„ λην ὡς νεοσσιάν, καὶ ὡς καταλελειμμένα
„ ὠὰ ἀρῶ. *οὐδ᾽ ἀγγέλων τῶν ὅλων ὁ θεὸς ἐ- *οὐ διὰ
παίδευσε σωφρονεῖν, ἀλλὰ τῶν ὑπ᾽ αὐτοῦ δου
ρυαλώτων γεγενημένων. ὡς γὰρ εἶδεν ἐκεῖνος
τὰ τρία μειράκια, τὴν μὲν βασιλικὴν νομοθε
σίαν οὐ πτήξαντα, τῆς δὲ φοβερᾶς ἐκείνης
πυρᾶς ὡς ἀθύρματος καταφρονήσαντα, καὶ
ἐπὶ τῶν ἀνθράκων ἐκείνων ὡς ἐπὶ ῥόδων βαδί-
ζοντα, καὶ ἐν τῇ τοιαύτῃ φλογὶ παραδεδομένους
τὸν θεὸν ὑμνοῦντας, ἐκπλήττεται μὲν τὸ
θαῦμα, καταπλήττεται δὲ τὸν τοῦ θαύμα
τος ποιητήν. κελεύει δὲ πᾶσι τὸν τούτων θεὸν
προσκυνεῖν, καὶ ὕψιστον αὐτὸν ὀνομάζει, καὶ τὸν
ἁπάντων θεὸν καὶ βασιλέα καλεῖ. οὕτω τὸν δ'. Βα-
Ἀσσύριον ἐκεῖνον κατ᾽ αὐτοῦ λυττήσαντα, καὶ σιλ. ιη'.
τοῖς μανικοῖς ἐκείνοις χρησάμενον ῥήμασιν. λθ'.
ὅτι οὐ μὴ ῥύσηται ὑμᾶς κύριος ὁ θεὸς ἐκ χειρός
μου, καὶ εἰσὶν οἱ θεοὶ τῶν ἐθνῶν. τὴν οἰκείαν
ἀσθένειαν ἐπαίδευσε, καὶ μόνον φυγεῖν κα-
τηνάγκασε, τὰς πολλὰς ἐκείνας χιλιάδας,
ἐφ᾽ αἷς ἐφρόνει μεγάλα, ἐν βραχείᾳ καιροῦ ῥο
πῇ δι᾽ ἑνὸς ἀγγέλου παραπέμψας θανάτῳ.
οὕτω τὸν Ἰωνᾶν νινευΐταις μετανοίας ἀπίστει Ἰωνᾶ.
λε κήρυγμα, καὶ τὸ κελευσθὲν ποιεῖν οὐ βουλό- α. β'.
μενον, ἀλλὰ φυγεῖν αἰσθήτως ἐπιχειρήσαντα,
δεσμεῖ μὲν τοῖς κύμασι, καθάπερ τινὶ δεσμῷ

Ministerio de Educación, Cultura y Deporte

τηρείᾳ, καὶ παραδίδωσι τῷ κήτει. τὸ δὲ ἀλόγοις ἀπήγαγε τὸ λογικόν, ἔνθα κηρύττειν ἐτάχθη. Ἐπειδὴ δὲ ἔμελλε τὸ μέγα τῆς οἰκονομίας πληροῦσθαι μυστήριον, καὶ τὸ διὰ τῆς θείας ἐνανθρωπήσεως εἰς πᾶσαν τὴν οἰκουμένην κατασπείρεσθαι κήρυγμα, τηνικαῦτα λοιπὸν ὥσπερ τὸ ἔθνος, ὃ ἐπ' εὐεργεσίᾳ τῶν ἐθνῶν ἁπάντων ἐξ ἀρχῆς ἐξελέξατο, εἰς πᾶσαν κατέσπειρε τὴν οἰκουμένην, ἵν' ἐθίσωσιν ἅπαντες ἀκούειν, οἱ τῇ πολυθέῳ κατεχόμενοι πλάνῃ, ὡς εἷς ἐστι θεός, οὐρανοῦ καὶ γῆς ποιητής, καὶ ἕτοιμον τὸ κήρυγμα ἐν τοῖς θείοις ἀποστόλοις γένηται. Ἀλλ' ἴσως ἄν τις εἴποι, ὡς οὐ μόνον οὐ συνήργησαν ἰουδαῖοι τῇ περὶ τοῦ Χριστοῦ διδασκαλίᾳ, ἀλλὰ καὶ λίαν ἀντέπραξαν, καὶ τοῖς ἐξ ἐθνῶν πείθεσθαι βουλομένοις ἐμποδὼν ἐγένοντο. ἀλλ' εἴ τις ἀκριβῶς ἐξετάσαι θελήσειε, καὶ τὴν ἐναντίωσιν ἰουδαίων σύμμαχον εὑρήσει τῆς τῶν ἐθνῶν πίστεως γενομένην. ἡ γὰρ πρὸς ἰουδαίους διάλεξις, καὶ ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν ἀπόδειξις, σαφὴς μὲν ἔλεγξις τῆς τούτων ἀνοίας ἐγένετο, ὑπεδείκνυε δὲ τοῖς ἐξ ἐθνῶν ἄνωθεν τὴν χριστιανικὴν πολιτείαν κεκηρυγμένην. καὶ ἡ παρὰ τῶν ἐχθρῶν μαρτυρία, ἀξιόπιστον ἐποίει τὸν κηρυττόμενον λόγον. ἔφερον γὰρ οἱ τοῦδε τοῦ λόγου κήρυκες εἰς μέσον, καὶ Ἀβραὰμ τὸν πατριάρχην, ταύτας τὰς ἐπαγγελίας δεξάμενον, καὶ Ἰσαὰκ τὸν τοῦ.

Ministerio de Educación, Cultura y Deporte

ἐπαγγελίας καρπόν. καὶ τὸν Ἰακὼβ ταύτης
τὴν εὐλογίαν παρὰ τοῦ πατρὸς κομισάμενον. καὶ
τὸν Ἰούδαν, τὸν πατρῷον τῆς εὐλογίας κλῆρον
διαδεξάμενον. καὶ τὸν Μωσέα ταῦτα προειρηκό-
τα. καὶ τὸν βασιλέα Δαβὶδ ταῦτα προθεσπί-
σαντα. καὶ Ἡσαΐαν καὶ Ἱερεμίαν ταῦτα προα-
γορεύσαντας. καὶ Ἰεζεκιὴλ καὶ Δανιὴλ ταῦτα
διὰ τοῦ πνεύματος προκηρύξαντας. καὶ ἅπαντα
τῶν προφητῶν τὸν χορὸν τὰ ἡμέτερα σαφῶς προ-
μηνύσαντα. ὁρῶντες δὲ οἱ ἀκούοντες, συνωμο-
λόγουν, τὰς μὲν Ἰουδαίων θείας εἶναι ταύτας
φωνάς. βλέποντες δὲ καὶ τὰς ἐν τῷ ὀνόματι τοῦ
κυρίου τελουμένας θαυματουργίας, καὶ ἔχεγ-
γυον λαβόντες τῶν λόγων τὰ σημεῖα, ἐδέχοντο
μὲν ῥαδίως τὸ κήρυγμα, ἐπίστευον δὲ τῷ κηρυττο-
μένῳ θεῷ, τὴν δὲ Ἰουδαίων ἐβδελύττοντο βδε-
λυρίαν. οὐκοῦν οὐ μόνον ἐμπόδιον οὐ γέγονεν ἡ
Ἰουδαίων ἀπείθεια τῷ θείῳ κηρύγματι, ἀλλὰ
καὶ δι' ὧν ἀντιτείνειν ἐπιχειροῦσιν, ἀξιόπιστον τῶν* *τὸν λό-
λόγων ἐργάζονται. ἡ γὰρ ἀντιλογία τὰς δεσποτι- γον
κὰς μαρτυρίας εἰς μέσον ἄγουσα κατηνάγ-
κασεν, ἐκεῖνα δὲ τὸ ψεῦδος διήλεγχον, καὶ τῆς
ἀληθείας τὸ φῶς ὑπεδείκνυσαν. ἄνωθεν τοι-
γαροῦν ὁ τῶν ὅλων θεὸς, τὴν τῶν ἀνθρώπων οἰκο-
νομῶν διετέλεσε σωτηρίαν, καὶ ἑκάστῳ καιρῷ
τὴν πρόσφορον προσήνεγκε θεραπείαν. καὶ τοῦτο πρὸς
" διδάσκων ὁ μακάριος ἔλεγε Παῦλος. ἐφόβου Γαλ. δ'

Ministerio de Educación, Cultura y Deporte

πρὸς γα » χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέ-
λα. δ'. » ρει δούλου, κύριος πάντων ὤν, ἀλλ' ὑπὸ ἐπιτρό-
» πους ἐστὶ καὶ οἰκονόμους μέχρι τῆς προθεσμίας
» τοῦ πατρός. οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ
» τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. ὅτε
» δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν
» ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενό-
» μενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγο-
» ράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολαύωμεν. ὅτι γὰρ τὴν
ταύτην τὴν οἰκονομίαν οὐκ ἐκ μεταμελείας
ἐλήλυθεν, ἀλλ' ἄνωθεν οὕτω διέταξεν, ὁ αὐ-
τὸς διδασκέτω μάρτυς, Κορινθίοις ἐπιστέλλων
α'. κορινθ. » καὶ γράφων. σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τε-
β'. » λείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν
» ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων,
» ἀλλὰ λαλοῦμεν σοφίαν θεοῦ ἐν μυστηρίῳ τὴν
» ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν
» αἰώνων εἰς δόξαν ἡμῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ
» αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν
» τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. οὐ γὰρ ἂν φθο-
νοῦντες τῇ τῶν ἀνθρώπων εὐημερίᾳ, πρόφασιν
αὐτοῖς τὴν ἄγαν εὐκλείας παρέσχον, ἀλλ' ἀγνο-
οῦντες τοῦ μυστηρίου τὸ τέλος, ἐμάνησαν μὲν τῇ σω-
τηρίᾳ τῶν ἡμετέρων ψυχῶν, ἄκοντες δὲ τῶν ἄκρων
ἀγαθῶν ἡμῖν ἐγένοντο πρόξενοι. οὐκοῦν ἀπε-
κρύπτετο τὸ μυστήριον, πρὸ δὲ τῶν αἰώνων προώρι-
στο. ταῦτα τοίνυν ἐγνωκότες, καὶ διὰ πάντων τὴν

Ministerio de Educación, Cultura y Deporte

κύρου προμήθειαν καταμαθόντες, καὶ τὴν ἀστά
θμητον αὐτοῦ φιλανθρωπίαν ὁρῶντες, καὶ
τὸ ἀμέτρητον βλέποντες ἔλεον, μάθετε τὸν εὐερ
γέτην ὑμνεῖν. λόγοις εὐγνώμοσι τὰς μεγάλας
εὐεργεσίας ἀμείψασθε. θύσατε τῷ θεῷ θυσίαν Ψαλ.
αἰνέσεως. μὴ μολύνητε βλασφημίᾳ τὴν γλῶ μθ΄.
τταν, ὄργανον ὑμνῳδίας ποιήσατε τὴν εἰς τοῦ
το γεγενημένην. τῶν θείων οἰκονομιῶν, τὰς μὲν
φαινομένας προσκυνεῖτε, τὰς δὲ κεκρυμμέ
νας μὴ πολυπραγμονεῖτε, ἀλλ᾽ ἀναμείνατε
τὴν μάθησιν εἰς καιρὸν ἐσομένην. ὅταν ἀπεκδυ
σώμεθα τὰ πάθη, τότε τὴν τελείαν γνῶσιν
ληψόμεθα. μὴ μιμήσητε δὲ τὸν Ἀδάμ, ὃς τῶν ἀπη
γορευμένων καρπῶν κατετόλμησε. μὴ ἅψησθε
τῶν κεκρυμμένων, ἀλλὰ τῷ προσήκοντι και
ρῷ τὴν τούτων καταλίπετε γνῶσιν. πείθη-
τε τῷ σοφῷ λέγοντι. μὴ εἴπῃς, τί τοῦτο, εἰς τί Ἐκκλ.
τοῦτο, πάντα γὰρ εἰς χρείαν αὐτῆς ἔκτισται. λθ΄.
πανταχόθεν οὖν ὕμνων ἀφορμὰς ἐρανιζό
μενοι, καὶ μίαν ὑμνῳδίαν κεράσαντες, προ-
σενέγκατε μεθ᾽ ἡμῶν τῷ ποιητῇ, καὶ ἀγαθοδότῃ,
καὶ σωτῆρι Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν, αὐτῷ ἡ
δόξα καὶ ἡ προσκύνησις καὶ μεγαλοπρέπεια εἰς
τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΤΕΛΟΣ.

α β γ δ ε ζ η θ ι κ λ μ ν ξ ο π

Ἅπαντα εἰσὶ τετράδια.

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

XVII
3786